ARCHIMEDIS

OPERA OMNIA

CUM COMMENTARIIS EUTOCII.

E CODICE FLORENTINO RECENSUIT, LATINE UERTIT

NOTISQUE ILLUSTRAUIT

J. L. HEIBERG

DR. PHIL.

UOLUMEN II.

LIPSIAE

IN AEDIBUS B. G. TEUBNERI.

MDCCCLXXXI.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Cum in uolumine primo satis, ut opinor, de consilio, genere adiumentisque huius editionis praefatus sim, huic praefationi nihil relinquitur, nisi ut pauca quaedam uel addam uel corrigam.

In adnotatione igitur critica uoluminis I haec addantur, de quibus postea demum, quam prodierat uolumen illud, ab Henrico Lebègue certior factus sum:

I p. 56, 17 etiam in *A* est *περιφερείας*; quare scrib. „corr. ed. Basil.".

I p. 116, 2 post „ed. Basil." ponenda erat stellula (nam ubi stellula nomini editoris recentioris adponitur, hoc significatur, codices Parisinos denuo inspectos cum cod. Florentino congruere).

I p. 122, 7 post „uulgo" stellula ponatur.

I p. 132, 13 deleatur „corr. ed. Basil." nam in omnibus codd. est *τό* (excepto Florentino).

I p. 132, 18 post „ed. Basil." ponatur stellula.

I p. 150, 3 post „ed. Basil." ponatur stellula.

I p. 190, 19 pro „corr. ed. Basil." scribatur „corr. *B* manu 2*".

I p. 216, 17 cod. *C* prorsus idem habet, quod *F*; in *B* ita scribitur: *ἡ βδ πρὸς δχ· ὥστε καὶ ὡς τὸ ἀπὸ κλ πρὸς λδ ἡ βδ πρὸς δχ· ὥστε καὶ ὡς τὸ ἀπὸ κλ* cet.

I p. 452, 20 *οὔτε* cum omnibus codd. Parisinis recipiendum erat.

postremum moneo, sicubi signum interrogationis scripturae cod. Florentini adponatur, hoc non significari, me de collatione mea dubitare, sed codicem ipsum lectu difficilem esse, ita ut prorsus certo dignosci ne-

queat, quae sit scriptura eius. unus tamen locus excipiendus est II p. 352, 19. ibi enim ad Torellii scripturam τμάματος nihil e cod. Florentino adnotaui; sed cum et ante et post in eadem pagina legamus τμῆμα, non dubito, quin errauerim, et hoc quoque loco η in cod. Florentino reperiatur.

In uolumine altero p. 359 sq. recepi interpretationem Tartaleae librorum, qui sunt περὶ ὀχουμένων, quia intellexeram, Commandinum suo Marte plurima mutasse, ita ut forma genuina, in qua libri illi nobis traditi sunt, ex Tartalea solo cognosci possit. itaque cum liber eius satis rarus sit, interesse putaui, ut denuo cum fide ederetur quasi fundamentum hosce libros emendandi. sed hac ipsa re accidit, ut libri illi forma corruptissima et ita, ut interdum intellegi non possint, prodirent. sed cum intellexerim, eos tam fideliter e Graeco conuersos esse, ut pristina forma ubique fere adpareat, constitui, postea aliquando, si otium mihi contigerit, hos libros Graece conuertere. tum demum licebit de lacunis explendis et erroribus plurimis foedissimisque corrigendis seuere cogitare. dum hoc fiat, habitu barbaro et dilacerato, quo ad nos peruenerunt, hic quoque prodeant. hoc loco interponere libet, quae Carolus Thurot u. d. ad emendandos libros illos contulit (Recherches sur le principe d'Archimède. Revue archéologique 1868—69).

II p. 356, 4: ὠθεῖσθαι] delet C. Thurot.
II p. 356, 6: πάντων αὐτοῦ μερῶν] πάντα δὲ τὰ αὐτοῦ μέρη idem.
II p. 357, 10: ἰσοβαρῆ iam suspicatus est Thurot.
II p. 358, 10: κάταβαίνωσι] καταβῶσι idem.
II p. 358, 2: ἰσοβαρῆ iam Thurot.

praeterea in uerbis Tartaleae citandis saepe ea uel corrigit uel explicat additis Graecis, in quo saepe in

eadem incidit, quae ego in adnotationibus posui. de lacuna p. 369, 5 haec habet: peut-être y avait-il: en effet, si *a* n'était pas entièrement au-dessous de la surface, le volume du liquide égal à la portion plongée aurait un poids moindre que *ad*. idem uir doctus (Revue critique 1880 nr. 2) quaestionem obscuram ac difficilem, utrum Tartalea ipse codicem Graecum habuerit necne, ita soluere conatur, ut putet, libros illos Tartaleae causa ab homine Graecae linguae satis perito, sed qui mathematicam non calleret, e Graeco conuersos esse. praeterea consensum Thuroti (Recherches etc. p. 12 not. 2) de auctoritate editionis Tartaleae laetus commemoro, de qua ita iudicat: nous montrerons plus bas que cette publication est la seule base authentique qui puisse jusqu'ici servir à établir le texte de ce traité d'Archimède. — sero animaduerti, pro littera X usurpandam fuisse litteram Ψ, ut fecit Commandinus; nam apud Tartaleam haec littera, quae saepius formam litterae *x* prae se fert, interdum tamen litterae Ψ simillima est, ita ut ueri simile sit, Tartaleam semper hanc litteram reddi uoluisse.

De lemmatis hoc addendum uidetur, Mauritium Cantor (Vorlesungen über d. Gesch. der Math. p. 255—57) nuper pluribus de quibusdam eorum propositionibus egisse. quae Curtzius et Steinschneiderus de huius libri apud Arabes fatis disputauerunt, breui recensere in animo mihi est.

De codice Parisino problematis bouini e litteris Henrici Lebègue haec cognoui. codex Graecus 2448 inter alia hoc epigramma et id quidem tertio loco continet. de eo in Catalogo codd. mss. bibliothecae regiae II p. 504 haec leguntur:

MMCDXLVIII.

„— 3°. Archimedis supposititia ad Eratosthenem

epistola sive problema Alexandrinis versibus scriptum de bobus solis sacris —.

Codex bombycinus, olim Colbertinus.

Is codex saeculo decimo quarto exaratus videtur".
conspectus scripturae discrepantiae, in quo de accentibus et ι subscripto (quod saepe omittitur) tacui, hic est:

u. 4: δασσαμένη] δασαμένη cod. Paris. 2448.
u. 5: ἀλάσσοντα] alterum σ supra Paris. 2448.
u. 12: τετράτῳ τε] sic cod. Paris. 2448.
u. 13: πᾶσιν] sic. cod. Paris. 2448.
u. 16: αὖτις] αὐτούς.
u. 16: ἰσαζομένους] ἰδαιομένους.
u. 19: τετράτῳ] sic.
u. 20: τετράτῳ] sic.
u. 22: πάσης] πάσαις.
u. 22: ἐρχομένης] ἐρχομέναις.
u. 23: ἀγέλης] δ' ἀγέλης (et sic Struuius).
u. 24: τετραχῇ] τετραχεῖ.
u. 27: βοῶν] βόες.
u. 29: χρῶμα] χροιάν.
u. 30: λέγοι'] λέγοιο.
u. 31: ἐναρίθμιος] sic.
u. 38: ἀμβολάδην] ἀμβολάνδην.
u. 40: οὔτ' ἐπιλειπομένων] οὔτ' πιλειπομένων.
u. 41: πραπίδεσσιν] πραπίδεσιν.
u. 41: ἀθροίσας] ἀθρήσας.
u. 42: ὦ ξένε] ξεῖνέ τά.
u. 44: ταύτῃ] ταύτης.

hoc problema Archimedi re uera tribuendum esse, quamquam dubitari possit, an ipsi uersiculi ab eo conscripti non sint (quod ipse admiseram Quaest. Archim. p. 26 not. 1), etiam Krumbiegelius censet; quem de explicando uerbo πλίνθου u. 36 (si modo explicari potest) mecum consentire (l. l. p. 134) gaudeo. sed

in eo sententiam meam minus recte intellexit, quod putauit, me causis a me adlatis demonstrare uoluisse, Archimedem huius epigrammatis auctorem esse. nam hoc solum ostendere conatus sum, nihil esse, cur ab eo discederemus, quod traditum est, his uersibus contineri problema ab Archimede propositum. de re aptissime me monuit L. Oppermannus, eo quoque confirmari originem problematis Archimedeam, quod numeri tam scite electi sint, ut cito ad ingentes numeros perueniatur, in quo ipso auctor problematis praecipuam eius difficultatem inesse uoluerit. coniecturam meam in u. 24:

ποικίλη ἰσάριθμον πλῆθος ἔχουσ' ἐφάνη,

quam palaeographice explicare posse uideor, tamen nunc improbaui, quia *ποικίλη* tum de grege vaccarum variarum, non de toto grege vario, accipiendum erat, quod fieri uix potest. — etiam iudicium Mauritii Cantor u. d. de hoc problemate adferre iuuat: Vorlesungen über d. Gesch. d. Math. I p. 268: Zu einem Ergebnisse kommen wir allerdings auch hier: dass nämlich ein Grund das Rinderproblem darum für untergeschoben zu erklären, weil Archimed es nicht habe lösen können, in keiner Weise vorliegt.

Inter fragmenta catoptricorum recipere potueram Michaelis Pselli locum in synopsi mathemat. p. 73 ed. Xylandri: *δυνατὸν μέντοι καὶ ἄλλως ἀπορίᾳ διόπτρας τῇ μεθόδῳ χρήσασθαι, καθὰ δήπου καὶ Ἀρχιμήδης· ὅς ποτέ τινων ἐρομένων*[1]) *περὶ τῆς ὑπ' ὄψιν πυραμίδος, ὁπόση ἂν εἴη τὸ μέγεθος, τὴν ῥάβδον ἑτοίμως ὄρθιον πρὸς τὴν ἐξ ἡλίου τῆς πυραμίδος καταπήξας σκιάν, ὡς τὰς ἀμφοῖν τῆς τε ῥάβδου καὶ τῆς πυραμίδος ἐξ ἴσου συναποπερατοῦσθαι σκιάς. καὶ δύο ἐντεῦθεν ἀποτελέσας ἰσογώνια αὐτόθεν ἐπήγαγεν· ὃν λόγον ἡ ἐν ἐπιπέδῳ κειμένη σκιὰ τῆς ῥάβδου πρὸς αὐτὴν*

1) *ἐρωμένων* Xylander.

ἔχει τὴν ῥάβδον, τὸν αὐτὸν καὶ ἡ ἐν ἐπιπέδῳ τῆς πυραμίδος σκιὰ πρὸς αὐτὴν ἔχει τὴν πυραμίδα. καὶ λοιπὸν τῇ διαμετρήσει τῆς σκιᾶς τῆς πυραμίδος τὸ τῆς πυραμίδος ὕψος τοῖς ἐρωτήσασι δῆλον κατέστησεν. nam ueri simile est, hanc narratiunculam inde ortam esse, quod in catoptricis Archimedis inueniebatur propositio aliqua de altitudinibus ex umbra dimetiendis, qualis est Euclidis optic. prop. 18.

ultimo loco adnotabo errores typographicos, quos quidem adhuc deprehenderim.

	Scriptum est:	Scribendum erat:
I p. 24, 15:	*περιγάψαι*	*περιγράψαι.*
I p. 46, 7:	*ἰσούψη*	*ἰσοϋψῆ.*
I p. 106, 9:	*η*	*ἡ.*
I p. 240, 20:	*τμῆμα. ὥς*	*τμῆμα, ὥς*
I p. 380, 25:	*κορυφα*	*κορυφὰ*
I p. 424, 5:	*ουδὲ*	*οὐδὲ*
II p. 146, 20:	*ἔχοντι*	*ἔχωντι*; et in notis p. 147 addendum: „20. *εχοντι* *F*, uulgo."

in figura I p. 360 littera *Γ* excidit, quae ponenda erat in dextra parte extrema parabolae. I p. 244 in figura ducatur linea *ΔK*.

praeterea non raro in accentibus more Doriensium ponendis erraui, uelut quod in futuri tertia persona num. sing. circumflexum non posui, et omnino in dialecto restituenda fortasse parum mihi constiti. sed huic rei aliquatenus mederi me posse spero, collectis omnibus dialecti Doricae uestigiis, quae apud Archimedem occurrunt. hoc et materiem disputandi uberiorem et, ut arbitror, fructuosiorem, certe mihi familiariorem, quam praebet quaestio de codicibus aestimandis, praefationi uoluminis tertii sepono.

Scrib. Hauniae Cal. Februariis MDCCCLXXXI.

DE LINEIS SPIRALIBUS.

Ἀρχιμήδης Δοσιθέῳ χαίρειν.

Τῶν ποτὶ Κόνωνα ἀποσταλέντων θεωρημάτων, ὑπὲρ ὧν αἰεὶ τὰς ἀποδειξίας ἐπιστέλλεις μοι γράψαι, τῶν μὲν πλείστων ἐν τοῖς ὑπὸ Ἡρακλείδα κομισθέντεσσιν ἔχεις γεγραμμένας, τινὰς δὲ αὐτῶν καὶ ἐν τῷδε τῷ βιβλίῳ γράψας ἐπιστέλλω τοι. μὴ θαυμάσῃς δέ, εἰ πλείονα χρόνον ποιησάντες ἐκδίδομες τὰς ἀποδειξίας αὐτῶν. συμβαίνει γὰρ τοῦτο γεγενῆσθαι διὰ τὸ βουλέσθαι με πρότερον διδόμεν τοῖς περὶ τὰ μαθήματα πραγματευομένοις καὶ μαστεύειν αὐτὰ προαιρουμένοις. πόσα γὰρ τῶν ἐν γεωμετρίᾳ θεωρημάτων οὐκ εὐμέθοδα ἐν ἀρχᾷ φανέντα χρόνῳ τὰν ἐξεργασίαν λαμβάνοντι; Κόνων μὲν οὖν οὐχ ἱκανὸν λαβὼν ἐς τὰν μάστευσιν αὐτῶν χρόνον μετάλλαξεν τὸν βίον· ἦ δῆλα ἐποίησέν κα ταῦτα πάντα εὑρών, καὶ ἄλλα πολλὰ ἐξευρὼν ἐπὶ τὸ πλεῖον προάγαγεν γεωμετρίαν. ἐπιστάμεθα γὰρ ὑπάρξασαν αὐτῷ σύνεσιν οὐ τὰν τυχοῦσαν περὶ τὸ μάθημα καὶ φιλοπονίαν ὑπερβάλλουσαν. μετὰ δὲ τὰν Κόνωνος τελευτὰν πολλῶν ἐτέων ἐπιγεγενημένων οὐδ᾽ ὑφ᾽ ἑνὸς οὐδὲν τῶν προβλημάτων αἰσθανόμεθα κεκινημένον. βουλόμαι δὲ καθ᾽ ἓν ἕκαστον αὐτῶν προενεγκάσθαι· καὶ γὰρ συμβαίνει δύο τινὰ

---

1. *Δωσιθεῳ* F, uulgo. 2. *θεορηματων* F. 3. *ἀποδειξίας*] scripsi, ut lin. 7; *αποδειξ* cum comp. *ης* F; *ἀποδείξεις* uulgo. 7. *εκδιδομεν* F, uulgo. 11. *πόσα*] Barrowius; *ποια* F,

Archimedes Dositheo s.

Eorum theorematum, quae ad Cononem miseram, quorum demonstrationes semper me perscribere iubes, plerasque demonstrationes in iis libris perscriptas habes, quos Heraclides ad te pertulit, nonnullas autem etiam hoc libro perscriptas ad te mitto. neu miratus sis, si diutius moratus demonstrationes eorum edidi. hoc enim ea de causa factum est, quod prius ea uolui permittere mathematices studiosis, et qui ipsi ea scrutari malint. quot enim geometriae theoremata, quae initio difficilia inuentu uidebantur, postea tandem confecta sunt? Conon igitur, antequam satis temporis ad ea perscrutanda ei contigit, mortuus est; alioquin ea illustrasset, his omnibus inuentis, et multis aliis insuper de suo inuentis geometriam amplificasset. scimus enim, ei fuisse et peritiam mathematices singularem et industriam praecipuam. sed multis iam post mortem Cononis annis interiectis nondum ullum problematum illorum quemquam adtigisse comperimus. singula autem hoc loco adferam. accidit enim, ut duo

uulgo. *ϑεορηματων* F. 12. *τὰν*] *την* per comp. F; corr. Torellius. 13. *οὖν*] addidi; om. F, uulgo. 14. *ἦ δῆλα*] Maduigius; *αδηλα* F, uulgo; *καὶ ἄδηλα* ed. Basil., Torellius. 15. *κα*] scripsi; *και* F, uulgo. 16. *ἐπὶ*] scripsi; *και επι* F, uulgo. *τὰν γεωμετρίαν*? 17. *συνεσ* cum comp. *ην* F. 19. *Κωνωνος* F, uulgo.

αὐτῶν ἐν αὐτοῖς μὲν κεχωρισμένα, τέλος δὲ ποθεσόμενα, ὅπως οἱ φαμένοι μὲν πάντα εὑρίσκειν, ἀπόδειξιν δὲ αὐτῶν οὐδεμίαν ἐκφερόντες ἐλεγκώνται οἷα ποθωμολογηκότες εὑρίσκειν τὰ ἀδύνατα. ταῦτα δὴ ποῖα τῶν προβλημάτων ἐντί, καὶ τίνων τὰς ἀποδειξίας ἔχεις ἀπεσταλμένας, καὶ ποίων ἐν τῷδε τῷ βιβλίῳ κομίζομες, δοκιμάζομες ἐμφανίξαι τοι. πρῶτον δὴ τῶν προβλημάτων ἦν· σφαίρας δοθείσας ἐπίπεδον χωρίον εὑρεῖν ἴσον τᾷ ἐπιφανείᾳ τᾶς σφαίρας· ὃ δὴ καὶ πρῶτον ἐγένετο φανερὸν ἐκδοθέντος τοῦ περὶ τὰν σφαίραν βιβλίου. δειχθέντος γάρ, ὅτι πάσας σφαίρας ἁ ἐπιφάνεια τετραπλασία ἐστὶ τοῦ μεγίστου κύκλου τῶν ἐν τᾷ σφαίρᾳ, δῆλον, ὡς δυνατόν ἐστι χωρίον ἐπίπεδον εὑρεῖν ἴσον τᾷ ἐπιφανείᾳ τᾶς σφαίρας. δεύτερον δέ· κώνου δοθέντος ἢ κυλίνδρου σφαῖραν εὑρεῖν ἴσαν τῷ κώνῳ ἢ τῷ κυλίνδρῳ. τρίτον δέ· τὰν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν ὥστε τὰ τμάματα αὐτᾶς ποτ' ἄλλαλα τὸν ταχθέντα λόγον ἔχειν. τέταρτον δέ· τὰν δοθεῖσαν σφαῖραν ἐπιπέδῳ τεμεῖν ὥστε τὰ τμάματα τᾶς ἐπιφανείας τὸν ταχθέντα λόγον ἔχειν ποτ' ἄλλαλα. πέμπτον δέ· τὸ δοθὲν τμᾶμα σφαίρας τῷ δοθέντι τμάματι σφαίρας ὁμοιῶσαι. ἕκτον δέ· δύο δοθέντων τμαμάτων σφαίρας εἴτε τᾶς αὐτᾶς εἴτε

---

1. αὐτῶν] scripsi; των F, uulgo. ἐν αὐτοῖς] scripsi cum Nizzio; εν αυτω F, uulgo; εὐλύτων retentis τῶν et μή Maduigius. μέν] μη F; corr. ed. Basil.* κεχωρασμενα F; corr. B*; εἶμεν κεχωρισμένα Torellius cum Barrowio. τέλος] Nizzius; τελους F, uulgo. ποθεσόμενα] scripsi; ποτεσσομεν F, uulgo; ποτθήσομεν Barrow; ἀποτευξόμενα Torellius; ἀποεσσόμενα uel οὐδεποθ' ἑξόμενα Nizzius; fort. τέλους δὲ ποτιδεόμενα. 2. φανοι F. ευρισκ cum comp. ην F, ut lin. 4, 9, 14. 3. οἷα ποθωμολογηκότες] scripsi; αποθωμολογηκοτες F, uulgo; οἱ ποθ' ὁμολογηκότες Barrow, Torellius. 5. αποδειξ cum comp. ης F.
6. βιβλίῳ] alterum β supra manu 1 F. 7. κομιζοντες

quaedam eorum inter ea collocata sint, confici autem non possint, ut isti, qui se omnia inuenire dictitent, nullam autem demonstrationem eorum in medium proferant, aliquando redarguantur, quippe qui absurda etiam se inuenire posse professi sint. ea autem problemata qualia sint, et quorum demonstrationes perscriptas habeas, et qualium demonstrationes hoc libro adferamus, mihi uisum est tecum communicare. primum igitur problema hoc erat: data sphaera planum spatium inuenire superficiei sphaerae aequale [de sph. et cyl. II p. 190], id quod etiam primum palam factum est, edito de sphaera libro. cum enim demonstratum sit, superficiem sphaerae quadruplo maiorem esse circulo maximo sphaerae [de sph. et cyl. I, 33], adparet fieri posse, ut inueniatur spatium planum superficiei sphaerae aequale. secundum autem hoc erat: dato cono uel cylindro sphaeram inuenire cono uel cylindro aequalem [de sph. et cyl. II, 1]. tertium autem: datam sphaeram plano secare, ita ut segmenta eius inter se datam rationem habeant [ib. II, 4]. quartum autem: datam sphaeram plano secare, ita ut segmenta superficiei inter se datam rationem habeant [ib. II, 3]. quintum autem: datum segmentum sphaerae dato segmento sphaerae simile reddere [cfr. ib. II, 5]. sextum autem: datis duobus sphaerae segmentis siue

---

F; corr. Torellius. δοκιμάζομες] scripsi; δοκιμαζοντες F, uulgo. ἐμφανίξω B; ἐμφανίσω Torellius; ἐμφανίσαι A, ed. Basil. 8. δοθεισ cum comp. ης F; corr. Torellius. 10. τὰν σφαίραν] scripsi; την (comp.) σφαιραν F, uulgo; τᾶς σφαίρας Torellius. 15. ευρ cum comp. ην F, ut lin. 17, 19, p. 6 l. 1 17. τμηματα F; corr. Torellius; sic semper in omnibus huius uerbi formis in hoc libro, nisi ubi contra adnotatum est. 18. αυτης F; corr. Torellius. 21. πεπτον F.

ἄλλας εὑρεῖν τι τμᾶμα σφαίρας, ὃ ἐσσεῖται αὐτὸ μὲν ὁμοῖον τῷ ἑτέρῳ τῶν τμαμάτων, τὰν δὲ ἐπιφάνειαν ἴσαν ἕξει τᾷ ἐπιφανείᾳ τοῦ ἑτέρου τμάματος. ἕβδομον· ἀπὸ τᾶς δοθείσας σφαίρας τμᾶμα ἀποτεμεῖν ἐπιπέδῳ ὥστε τὸ τμᾶμα ποτὶ τὸν κῶνον τὸν βάσιν ἔχοντα τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος ἴσον τὸν ταχθέντα λόγον ἔχειν μείζονα τοῦ, ὃν ἔχει τὰ τρία ποτὶ τὰ δύο. τούτων μὲν οὖν τῶν εἰρημένων πάντων τὰς ἀποδειξίας Ἡρακλείδας ἐκόμιξεν. τὸ δὲ μετὰ ταῦτα κεχωρισμένον ψεῦδος ἦν. ἔστι δέ· εἴ κα σφαῖρα ἐπιπέδῳ τμαθῇ εἰς ἄνισα, τὸ μεῖζον τμᾶμα ποτὶ τὸ ἔλασσον διπλασίονα λόγον ἕξει, ἢ ἁ μείζων ἐπιφάνεια ποτὶ τὰν ἐλάσσονα. ὅτι δὲ τοῦτο ψεῦδός ἐστι, διὰ τῶν προαπεσταλμένων φανερόν ἐστι. κεχωρίσται γὰρ ἐν αὐτοῖς τόδε· εἴ κα σφαῖρα ἐπιπέδῳ τμαθῇ εἰς ἄνισα ποτ' ὀρθὰς διαμέτρῳ τινὶ τῶν ἐν τᾷ σφαίρᾳ τᾶς μὲν ἐπιφανείας τὸ μεῖζον τμᾶμα ποτὶ τὸ ἔλασσον τὸν αὐτὸν ἕξει λόγον, ὃν τὸ τμᾶμα τὸ μεῖζον τᾶς διαμέτρου ποτὶ τὸ ἔλασσον, τὸ δὲ μεῖζον τμᾶμα τᾶς σφαίρας ποτὶ τὸ ἔλασσον ἐλάσσονα μὲν ἢ διπλάσιον λόγον ἔχει τοῦ, ὃν ἔχει ἁ μείζων ἐπιφάνεια ποτὶ τὰν ἐλάσσονα, μείζονα δὲ ἢ ἡμιόλιον. ἦν δὲ καὶ τὸ ἔσχατον κεχωρισμένον τῶν προβλημάτων ψεῦδος, ὅτι, εἴ κα σφαίρας τινὸς ἁ διάμετρος τμαθῇ ὥστε τὸ ἀπὸ τοῦ μείζονος τμάματος τετράγωνον τριπλάσιον εἶμεν τοῦ τετραγώνου τοῦ ἀπὸ τοῦ ἐλάσσονος τμάμα-

7. μη μειζονα F; corr. Nizzius. 8. οὖν] per comp. F; om. ed. Basil. αποδειξεις F, uulgo. 9. εκομισεν F, uulgo. 10. τμηθη F; corr. Torellius; et sic per totum hunc librum in omnibus huius uerbi formis (etiam in compositis), ubi nihil adnotatum est. 15. ποτ'] πρός per comp. F; corr. Torellius. 16. τᾶς μὲν ἐπιφανείας] addidi Neue Jahrb. Suppl. XI p. 397; om. F, uulgo. ποτὶ τὸ ἔλασσον — 19. τὸ δὲ μεῖζον τμᾶμα

eiusdem siue alius segmentum sphaerae inuenire, quod ipsum alteri segmento aequale sit, superficiem autem alterius segmenti superficiei aequalem habeat [ib. II, 6]. septimum: a data sphaera segmentum plano abscindere, ita ut segmentum ad conum basim eandem habentem, quam segmentum, et altitudinem aequalem datam rationem habeat maiorem quam 3 : 2 [ib. II, 7]. horum igitur omnium, quae nominauimus, problematum demonstrationes Heraclides ad te pertulit. sed quod deinde positum erat, falsum erat. est autem huiusmodi: si sphaera plano in partes inaequales secatur, maius segmentum ad minus duplicem rationem habet, quam maior superficies ad minorem. hoc autem falsum esse ex iis, quae antea ad te missa sunt, adparet. in iis enim hoc positum est: si sphaera in partes inaequales secatur plano ad diametrum aliquam sphaerae perpendiculari, superficiei segmentum maius ad minus eandem habebit rationem, quam maior pars diametri ad minorem, sphaerae autem segmentum maius ad minus minorem quam duplicem rationem habet, quam maior superficies ad minorem, maiorem uero quam sesquialteram [ib. II, 8]. uerum etiam problema ultimo loco positum falsum erat: si alicuius sphaerae diametrus ita secatur, ut quadratum partis maioris triplo maius sit quadrato partis minoris, et per hoc punctum[1]) planum ad diametrum perpen-

1) Sc. in quo diametrus ita diuisa est.

delet Nizzius. 18. δέ] scripsi ibid.; γαρ F, uulgo. 19. ἔλασσον] om. FV. 21. ποτὶ τάν] προς (comp.) την (comp.) F; corr. Torellius. 23. ή F; corr. Torellius.

τος, καὶ διὰ τοῦ σαμείου τούτου ἐπίπεδον ἀχθὲν ποτ' ὀρθὰς τᾷ διαμέτρῳ τέμνῃ τὰν σφαῖραν, τὸ τοιοῦτον τῷ εἴδει σχῆμα, οἷόν ἐστι τὸ μεῖζον τᾶς σφαίρας τμᾶμα, μέγιστόν ἐστι τῶν ἄλλων τμαμάτων τῶν ἐχόντων ἴσαν τὰν ἐπιφάνειαν. ὅτι δὲ τοῦτο ψεῦδός ἐστι, δῆλον διὰ τῶν προαπεσταλμένων θεωρημάτων. δεδείκται γάρ, ὅτι τὸ ἡμισφαίριον μέγιστόν ἐστι τῶν περιεχομένων ὑπὸ ἴσας ἐπιφανείας σφαίρας τμαμάτων. μετὰ δὲ ταῦτα περὶ τοῦ κώνου προβεβλημένα ἐστὶ τάδε· εἴ κα ὀρθογωνίου κώνου τομὰ μενούσας τᾶς διαμέτρου περιενεχθῇ, ὥστε εἶμεν ἄξονα τὰν διάμετρον, τὸ περιγραφὲν σχῆμα ὑπὸ τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς κωνοειδὲς καλείσθω. καὶ εἴ κα τοῦ κωνοειδέος σχήματος ἐπίπεδον ἐπιψαύῃ, παρὰ δὲ τὸ ἐπιψαῦον ἐπίπεδον ἄλλο ἐπίπεδον ἀχθὲν ἀποτέμῃ τι τμᾶμα τοῦ κωνοειδέος, τοῦ ἀποτμαθέντος τμάματος βάσις μὲν καλείσθω τὸ ἀποτέμνον ἐπίπεδον, κορυφὰ δὲ τὸ σαμεῖον, καθ' ὃ ἐπιψαύει τὸ ἕτερον ἐπίπεδον τοῦ κωνοειδέος. εἰ δέ κα τὸ εἰρημένον σχῆμα ἐπιπέδῳ τμαθῇ ποτ' ὀρθὰς τῷ ἄξονι, ὅτι μὲν ἁ τομὰ κύκλος ἐσσεῖται, δῆλον· ὅτι δὲ τὸ ἀποτμαθὲν τμᾶμα ἡμιόλιον ἐσσεῖται τοῦ κώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν τῷ τμάματι καὶ ὕψος ἴσον, δεῖξαι δεῖ. καὶ εἴ κα τοῦ κωνοειδέος δύο τμάματα ἀποτμαθέωντι ἐπιπέδοις ὁπωσοῦν ἀγμένοις, ὅτι μὲν οὖν αἱ τομαὶ ἐσσοῦνται ὀξυγωνίων κώνων τομαί, δῆλον, εἴ κα τὰ ἀποτέμνοντα ἐπίπεδα μὴ ὀρθὰ ἔωντι ποτὶ τὸν ἄξονα· ὅτι δὲ τὰ τμάματα ποτ' ἄλλαλα τοῦ-

---

1. σημειον F; corr. Torellius; et sic per totum librum, ubi nihil adnotatum est. τούτου] scripsi; το F, uulgo; τι? 2. τὰν] την F; corr. Torellius. 3. ειδη F. 12. της (comp.) . . . τομης F; corr. Torellius. 16. ἀποτμαθέντος] sic F.

diculare ducatur et sphaeram secet, figura talis specie, quale est maius segmentum sphaerae, maxima est omnium segmentorum aequalem superficiem habentium. hoc autem falsum esse, ex iis theorematis, quae antea ad te missa sunt, adparet. ibi enim demonstratum est, hemisphaerium maximum esse segmentorum aequali superficie sphaerae comprehensorum [ib. II, 9]. deinde de cono[1]) haec erant proposita: si sectio coni rectanguli manente diametro circumuoluitur, ita ut diametrus sit axis, figura sectione coni rectanguli comprehensa conoides uocetur [cfr. de conoid. p. 274]. et si planum conoides contingit, et aliud planum contingenti parallelum segmentum aliquod conoidis abscindit, segmenti abscisi basis uocetur planum abscindens, uertex autem punctum, in quo alterum planum conoides contingit. sin autem figura, quam commemorauimus, plano ad axem perpendiculari secatur, sectionem circulum fore, adparet; sed segmentum abscisum dimidia parte maius futurum esse cono basim eandem habenti, quam segmentum, et altitudinem aequalem, demonstrandum est [de conoid. 21]. et si a conoide duo segmenta planis quouis modo ductis abscinduntur, sectiones conorum acutiangulorum sectiones futuras esse, si plana abscindentia ad axem perpendicularia non sint, adparet [de conoid. 12]; segmenta autem eam inter se rationem

1) Uidendum est, ne scribendum sit τοῦ κωνοειδέος lin. 9.

17. κορυφη F, uulgo. 18. δέ] δη F; corr. ed. Basil.* κα] scripsi; και F, uulgo. 25. ὀξυγωνίου κώνου Nizzius cum C, Cr. 26. αποτεμν (cum comp. ον) τα FC.

τον ἑξοῦντι τὸν λόγον, ὃν ἔχοντι δυνάμει ποτ' ἀλλάλας αἱ ἀπὸ τᾶν κορυφᾶν αὐτῶν ἀγμέναι παρὰ τὸν ἄξονα μέχρι ἐπὶ τὰ ἐπίπεδα τὰ τέμνοντα, δεῖξαι δεῖ. τούτων δ' αἱ ἀποδειξίες οὔπω τοι ἀποστελλόνται. μετὰ δὲ ταῦτα περὶ τᾶς ἕλικος ἦν προβεβλημένα ταῦτα· ἐντὶ δὲ ὥσπερ ἄλλο τι γένος προβλημάτων οὐδὲν ἐπικοινωνεόντων τοῖς προειρημένοις· ὑπὲρ ὧν ἐν τῷδε τῷ βιβλίῳ τὰς ἀποδειξίας γεγραφήκαμές τοι. ἔστιν δὲ τάδε· εἴ κα εὐθεῖα γραμμὰ ἐν ἐπιπέδῳ μένοντος τοῦ ἑτέρου πέρατος ἰσοταχέως περιενεχθεῖσα ἀποκατασταθῇ πάλιν, ὅθεν ὥρμασεν, ἅμα δὲ τᾷ γραμμᾷ περιφερομένᾳ φερῆται τι σαμεῖον ἰσοταχέως αὐτὸ ἑαυτῷ κατὰ τᾶς εὐθείας ἀρξάμενον ἀπὸ τοῦ μένοντος πέρατος, τὸ σαμεῖον ἕλικα γράψει ἐν τῷ ἐπιπέδῳ. φαμὶ δὴ τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἀποκατασταθείσας, ὅθεν ὥρμασεν, τρίτον μέρος εἶμεν τοῦ κύκλου τοῦ γραφέντος κέντρῳ μὲν τῷ μένοντι σαμείῳ, διαστήματι δὲ τᾷ εὐθείᾳ τᾷ διανυσθείσᾳ ὑπὸ τοῦ σαμείου ἐν τᾷ μιᾷ περιφορᾷ τᾶς εὐθείας. καὶ εἴ κα τᾶς ἕλικος ἐπιψαύῃ τις εὐθεῖα κατὰ τὸ πέρας τᾶς ἕλικος τὸ ἔσχατον γενόμενον, ἄλλα δέ τις εὐθεῖα τᾷ περιαχθείσᾳ καὶ ἀποκατασταθείσᾳ γραμμᾷ ποτ' ὀρθὰς ἀχθῇ ἀπὸ τοῦ μένοντος πέρατος αὐτᾶς, ὥστε ἐμπεσεῖν τᾷ ἐπιψαυούσᾳ, φαμὶ τὰν ποταχθεῖσαν εὐθεῖαν ἴσαν εἶμεν τᾷ τοῦ κύκλου περιφερείᾳ. καὶ εἴ κα ἁ περιαγομένα γραμμὰ καὶ τὸ σαμεῖον τὸ φερόμενον κατ' αὐτᾶς πλει-

---

1. ἔχοντι] scripsi; εχωντι F, uulgo. 3. ἐπὶ τὰ] scripsi; τα F, uulgo. τὰ τέμνοντα] scripsi; τά om. F, uulgo. 4. αποδειξ cum comp. ης F; ἀποδείξεις uulgo. οὔπω] Torellius et Nizzius; ουτω F, uulgo. 5. ελικας F; corr. BD. 6. επικοινωνεόντων] scripsi; επικοινωνεοντα F, uulgo; ἐπίκοινον ἔχοντα Barrowius; ἐπίκοινον ἐχόντων Torellius; „communi-

habitura esse, quam habeant quadrata linearum, quae a uerticibus eorum usque ad plana abscindentia axi parallelae ducantur, demonstrandum est [ib. 24]. horum autem demonstrationes nondum ad te mittuntur, post haec autem de linea spirali haec proposita erant; sunt autem quasi aliud problematum genus, quae cum iis, quae adhuc commemorauimus, nihil commune habent; de quibus hoc libro demonstrationes tibi perscripsimus. sunt autem haec: si linea recta, manente altero termino, in plano aequabiliter circumacta rursus in eum locum restituitur, unde coepta est moueri, et simul dum linea circumagitur, punctum aliquod aequabiliter sibi ipsi in linea promouetur a termino manente incipiens, punctum in plano spiralem describet. dico igitur, spatium comprehensum spirali et linea in eum locum restituta, unde moueri coepta est, tertiam partem esse circuli, cuius centrum sit terminus manens, radius autem linea a puncto in una lineae circumuolutione permeata [prop. 24]. et si linea in extremo termino spiralis spiralem contingit, alia autem linea a termino manente ad lineam circumactam et in suum locum restitutam perpendicularis ducitur, ita ut in lineam contingentem incidat, dico, lineam ita [ad contingentem] ductam circuli ambitui aequalem esse [prop. 18]. et si linea, quae circumagitur, et punctum, quod in ea mouetur, pluribus

---

cans" Cr. 8. γεγραφηκαμεν F, uulgo. τοι] Torellius; σοι F, uulgo. 9. περι ελικων F mg. 16. ωρμησεν F. 23. πέρατος αὐτᾶς] περι το αυτο F; corr. Torellius. 24. φημι F; corr. Torellius. πραχθεισαν (o supra ρ) F; corr. Torellius; fort. προαχθεῖσαν.

ὄνας περιφορὰς περιενεχθέωντι καὶ ἀποκατασταθέωντι πάλιν, ὅθεν ὥρμασεν, φαμὶ τοῦ χωρίου τοῦ ἐν τᾷ δευτέρᾳ περιφορᾷ ποτιλαφθέντος ὑπὸ τὰς ἕλικος τὸ μὲν ἐν τᾷ τρίτᾳ ποτιλαφθὲν διπλάσιον ἐσσεῖσθαι, τὸ δὲ ἐν τᾷ τετάρτᾳ τριπλάσιον, τὸ δὲ ἐν τᾷ πέμπτᾳ τετραπλάσιον, καὶ ἀεὶ τὰ ἐν ταῖς ὕστερον περιφοραῖς ποτιλαμβανόμενα χωρία κατὰ τοὺς ἑξῆς ἀριθμοὺς πολλαπλάσια ἐσσεῖσθαι τοῦ ἐν τᾷ δευτέρᾳ περιφορᾷ ποτιλαφθέντος· τὸ δὲ ἐν τᾷ πρώτᾳ περιφορᾷ ποτιλαφθὲν χωρίον ἕκτον μέρος εἶμεν τοῦ ἐν τᾷ δευτέρᾳ περιφορᾷ ποτιλαφθέντος χωρίου. καὶ εἴ κα ἐπὶ τᾶς ἕλικος τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας δύο σαμεῖα λαφθέωντι, καὶ ἀπ' αὐτῶν ἐπιζευχθέωντι εὐθεῖαι ἐπὶ τὸ μεμενακὸς πέρας τᾶς περιενεχθείσας γραμμᾶς, καὶ κύκλοι δύο γραφέωντι κέντρῳ μὲν τῷ μεμενακότι σαμείῳ, διαστημάτεσσι δὲ ταῖς ἐπιζευχθείσαις ἐπὶ τὸ μεμενακὸς πέρας τᾶς εὐθείας, καὶ ἁ ἐλάσσων τᾶν ἐπιζευχθεισᾶν ἐπεκβληθῇ, φαμὶ τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς τοῦ μείζονος κύκλου περιφερείας τᾶς ἐπὶ τὰ αὐτὰ τᾷ ἕλικι μεταξὺ τᾶν εὐθειᾶν ἐούσας καὶ τᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἐκβληθείσας ποτὶ τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς τοῦ ἐλάσσονος κύκλου περιφερείας καὶ τᾶς αὐτᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνούσας τὰ πέρατα αὐτᾶν τοῦτον ἕξειν τὸν λόγον, ὃν ἔχει ἁ ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ δύο τριταμορίων τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου ποτὶ τὰν ἐκ

---

2. καὶ cum comp. ην F. 10. τοῦ] τα F; corr. B. 11. ελικας F; corr. B. 15. γραφέωντι] scripsi; γεγραφεωντι F, uulgo. 19. τᾷ] addidi; om. F, uulgo. 21. περιληφθεν F. 23. αὐτᾶν] αυταν supra scripto compendio ων uel circum-

circumuolutionibus circumaguntur et rursus in eum locum restituuntur, unde moueri coepta est [linea recta], dico, spatio in secunda circumuolutione a spirali adiecto duplo maius fore spatium in tertia adiectum, triplo autem maius spatium in quarta adiectum, quadruplo autem spatium in quinta adiectum, et omnino spatia in sequentibus circumuolutionibus adiecta multiplicia fore, quam spatium in secunda circumuolutioue adiectum, secundum numerorum insequentium seriem; spatium uero in prima circumuolutione comprehensum[1]) sextam partem esse spatii in secunda adiecti [prop. 27]. et si in spirali in una circumuolutione descripta duo puncta sumuntur, et ab iis ad manentem terminum lineae circumactae ducuntur lineae, et duo circuli describuntur, quorum centrum est punctum maneus, radii autem lineae ad manentem terminum lineae ductae, et minor linearum ductarum producitur, dico, spatium comprehensum eo ambitu circuli maioris, qui in eadem parte est, in qua est spiralis, inter lineas positus, et spirali et linea producta ad spatium comprehensum ambitu circuli minoris et eadem spirali et linea terminos earum iungenti eam habiturum esse rationem, quam habeat radius circuli minoris cum duabus partibus excessus, quo radius circuli maioris radium minoris circuli excedat, ad radium circuli minoris cum tertia parte eiusdem excessus [prop. 28]. horum

1) Puto scribendum esse: *περιλαφθέν* lin. 9.

flexu F. 24. *εξει* F, uulgo. 25. *ᾱ̆*] *ας* F; corr. Torellius. ·26. *μείζονος κύκλου* — p. 14, 1: *κέντρου τοῦ* om. F; corr. Torellius, nisi quod om. alterum *τοῦ* lin. 27.

τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ ἑνὸς τριταμορίου τᾶς εἰρημένας ὑπεροχᾶς. τούτων δή μοι καὶ ἄλλων περὶ τᾶς ἕλικος αἱ ἀποδειξίες ἐν τῷδε τῷ βιβλίῳ γραφόνται. προκείνται δέ, ὡς καὶ τῶν ἄλλων τῶν γεωμετρουμένων, τὰ χρείαν ἔχοντα εἰς τὰν ἀπόδειξιν αὐτῶν. λαμβάνω δὲ καὶ ἐν τούτοις, ὡς ἐν τοῖς πρότερον ἐκδεδομένοις βιβλίοις, λῆμμα τόδε· τᾶν ἀνίσαν γραμμᾶν καὶ τῶν ἀνίσων χωρίων τὰν ὑπεροχάν, ᾇ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάσσονος, αὐτὰν ἑαυτᾷ συντιθεμέναν δυνατὸν εἶμεν παντὸς ὑπερίσχειν τοῦ προτεθέντος τῶν ποτ' ἄλλαλα λεγομένων.

α'.

Εἴ κα κατά τινος γραμμᾶς ἐνεχθῇ τι σαμεῖον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον, καὶ λαφθέωντι ἐν αὐτᾷ δύο γραμμαί, αἱ ἀπολαφθεῖσαι τὸν αὐτὸν ἑξοῦντι λόγον ποτ' ἀλλάλας, ὅνπερ οἱ χρόνοι, ἐν οἷς τὸ σαμεῖον τὰς γραμμὰς ἐπορεύθη.

ἐνηνέχθω γάρ τι σαμεῖον κατὰ τᾶς ΑΒ γραμμᾶς ἰσοταχέως, καὶ λελάφθωσαν ἐν αὐτᾷ δύο γραμμαὶ αἱ ΓΔ, ΔΕ. ἔστω δὲ ὁ χρόνος, ἐν ᾧ τὰν ΓΔ γραμμὰν τὸ σαμεῖον διεπορεύθη, ὁ ΖΗ, ἐν ᾧ δὲ τὰν ΔΕ ὁ ΗΘ. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ ΓΔ γραμμὰ ποτὶ τὰν ΔΕ γραμμάν, ὃν ὁ χρόνος ὁ ΖΗ ποτὶ τὸν ΗΘ.

συγκείσθωσαν γὰρ ἐκ τᾶν ΓΔ, ΔΕ γραμμᾶν αἱ ΑΔ, ΔΒ γραμμαὶ καθ' ἁντινοῦν σύνθεσιν οὕτως, ὥστε ὑπερέχειν τὰν ΑΔ τᾶς ΔΒ. καὶ ὁσάκις μὲν συγκείται ἁ ΓΔ γραμμὰ ἐν τᾷ ΑΔ, τοσαυτάκις συγ-

---

1. μετ' ed. Basil., Torellius. 3. αποδειξ cum comp. ης F; ἀποδείξεις uulgo. 4. πρόκειται Nizzius. 6. ὡς] scripsi; των per comp. F, uulgo. 7. λῆμμα τόδε] scripsi; λημα ταδε

igitur [theorematum] et aliorum quorundam de spirali demonstrationes hoc libro a me perscribuntur. praemittuntur autem, ut etiam in ceteris scriptis geometricis, quae ad ea demonstranda utilia sunt. et hic quoque, sicut in libris antea editis[1]), hoc lemma sumo: excessum linearum uel spatiorum inaequalium, quo maius excedat minus, sibi ipsi adiectum excedere posse quamuis magnitudinem datam earum, quae inter se comparari possunt.

I.

Si in linea aliqua punctum aliquod sibi ipsi aequabiliter fertur, et in ea duae lineae sumuntur, lineae sumptae eandem rationem habebunt, quam tempora, quibus punctum lineas permeauit.

feratur enim aequabiliter punctum aliquod in linea AB, et in ea duae lineae $\Gamma\Delta$, ΔE sumantur. tempus autem, quo punctum lineam $\Gamma\Delta$ permeauit, sit ZH, et quo lineam ΔE, sit $H\Theta$. demonstrandum est, esse $\Gamma\Delta : \Delta E = ZH : H\Theta$.

componantur enim ex lineis $\Gamma\Delta$, ΔE lineae $A\Delta$, ΔB, quotiescunque sumuntur lineae illae, ita ut linea $A\Delta$ lineam ΔB excedat.[2]) et quoties linea $\Gamma\Delta$ in linea $A\Delta$ continetur, toties contineatur tempus ZH

1) H. e. περὶ σφαίρας καὶ κυλίνδρου (I λαμβ. 5 p. 10) et τετραγ. παραβ. praef. (Quaest. Arch. p. 45).
2) Hoc fieri potest per lemma illud lin. 7—11.

F, supra scripto μ et τα manu prima (et sic uulgo); λημμάτων τόδε Nizze. 18. ηνεχθω F, uulgo. 22. ἔχοντι] scripsi; εχωντι F, uulgo. $\Gamma\Delta$] $A\Delta$ F; corr. Torellius; αγ ed. Basil.; „cd" Cr. 24 των — γραμμων (comp.) F; corr. Torellius.

κείσθω ὁ χρόνος ὁ ΖΗ ἐν τῷ χρόνῳ τῷ ΛΗ· ὁσάκις δὲ συγκεῖται ἁ ΔΕ γραμμὰ ἐν τᾷ ΔΒ, τοσαυτάκις



συγκείσθω ὁ ΘΗ χρόνος ἐν τῷ ΚΗ χρόνῳ. ἐπεὶ οὖν ὑποκεῖται τὸ σαμεῖον ἰσοταχέως ἐνηνέχθαι κατὰ τᾶς ΑΒ γραμμᾶς, δῆλον, ὡς, ἐν ὅσῳ χρόνῳ τὰν ΓΔ ἐνηνέκται, ἐν τοσούτῳ καὶ ἑκάσταν ἐνηνέκται τᾶν ἴσαν τᾷ ΓΔ. φανερὸν οὖν, ὅτι καὶ συγκειμέναν τὰν ΑΔ γραμμὰν ἐν τοσούτῳ χρόνῳ ἐνηνέκται, ὅσος ἐστὶν ὁ ΛΗ χρόνος, ἐπειδὴ τοσαυτάκις συγκεῖται ἅ τε ΓΔ γραμμὰ ἐν τᾷ ΑΔ γραμμᾷ, καὶ ὁ ΖΗ χρόνος ἐν τῷ ΛΗ χρόνῳ. διὰ ταὐτὰ δὴ καὶ τὰν ΒΔ γραμμὰν ἐν τοσούτῳ χρόνῳ τὸ σαμεῖον ἐνηνέκται, ὅσος ἐστὶν ὁ ΚΗ χρόνος. ἐπεὶ οὖν μείζων ἐστὶν ἁ ΑΔ γραμμὰ τᾶς ΒΔ, δῆλον, ὅτι ἐν πλείονι χρόνῳ τὸ σαμεῖον τὰν ΔΑ διαπορευέται γραμμάν, ἢ τὰν ΒΔ. ὥστε ὁ χρόνος ὁ ΛΗ μείζων ἐστὶ τοῦ ΚΗ χρόνου. ὁμοίως δὲ δειχθησέται, καὶ εἴ κα ἐκ τῶν χρόνων τῶν ΖΗ, ΗΘ συντεθέωντι χρόνοι καθ' ἀντινοῦν σύνθεσιν, ὥστε ὑπερέχειν τὸν ἕτερον τοῦ ἑτέρου, ὅτι καὶ τᾶν ἐκ τᾶν γραμμᾶν τᾶν ΓΔ, ΔΕ κατὰ τὰν αὐτὰν σύνθεσιν συντεθεισᾶν ὑπερέξει ἁ ὁμόλογος τῷ ὑπερέχοντι χρόνῳ. δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἕξει λόγον ἁ ΓΔ ποτὶ τὰν ΔΕ, ὃν ὁ χρόνος ὁ ΖΗ ποτὶ τὸν χρόνον τὸν ΗΘ.

---

1. οσακ cum comp. ης F, ut lin. 2, 9. 6. τωσουτω F. εκαστ cum comp. ην F; corr. Torellius. 11. τὰ αὐτά Torellius. 17. αἴκα Torellius, ut fere semper.

in tempore $\varLambda H$. quoties autem linea $\varDelta E$ in linea $\varDelta B$ continetur, toties contineatur tempus $\varTheta H$ in tempore KH. iam quoniam suppositum est, punctum in linea $\varLambda B$ aequabiliter ferri, adparet, quo tempore lineam $\varGamma\varDelta$ permeat, eo etiam singulas lineae $\varGamma\varDelta$ aequales permeare. manifestum igitur est, punctum illud etiam lineam compositam $\varLambda\varDelta$ eo tempore permeare, quantum est tempus $\varLambda H$, quoniam, quoties linea $\varGamma\varDelta$ in linea $\varLambda\varDelta$ continetur, toties continetur tempus ZH in tempore $\varLambda H$. eadem igitur de causa etiam lineam $B\varDelta$ eo tempore permeat punctum, quantum est tempus KH. iam quoniam $\varLambda\varDelta > B\varDelta$, adparet, punctum longiore tempore lineam $\varDelta\varLambda$ permeare quam lineam $B\varDelta$. quare erit $\varLambda H > KH$. et eodem modo demonstrabimus, etiam si ex temporibus ZH, $H\varTheta$ tempora componantur, quotiescumque in iis illa tempora contineantur, ita ut alterum excedat alterum, etiam linearum ex lineis $\varGamma\varDelta$, $\varDelta E$ toties sumptis, quoties tempora ZH, $H\varTheta$, compositarum eam excedere alteram, quae tempori excedenti respondeat. adparet igitur, esse $\varGamma\varDelta : \varDelta E = ZH : H\varTheta$ [Eucl. V def. 5].

β'.

Εἴ κα δύο σαμείων ἑκατέρου κατά τινος γραμμᾶς ἐνεχθέντος μὴ τᾶς αὐτᾶς ἰσοταχέως αὐτοῦ ἑαυτῷ φερομένου λαφθέωντι ἐν ἑκατέρᾳ τᾶν γραμμᾶν δύο γραμμαί, ἄν αἵ τε πρῶται ἐν ἴσοις χρόνοις ὑπὸ τῶν σαμείων διανυέσθων καὶ αἱ δευτέραι, τὸν αὐτὸν ἑξοῦντι λόγον ποτ' ἀλλάλας αἱ λαφθεῖσαι γραμμαί.

ἔστω κατὰ τᾶς ΑΒ γραμμᾶς ἐνηνεγμένον τι σαμεῖον ἰσοταχέως αὐτὸ ἑαυτῷ, καὶ ἄλλο κατὰ τᾶς ΚΛ. λελάφθωσαν δὲ ἐν τᾷ ΑΒ δύο αἱ ΓΔ, ΔΕ γραμμαί, καὶ ἐν τᾷ ΚΛ αἱ ΖΗ, ΗΘ, ἐν ἴσῳ δὲ χρόνῳ τὸ κατὰ τᾶς ΑΒ γραμμᾶς ἐνηνεγμένον σαμεῖον τὰν ΓΔ γραμμὰν διαπορευέσθω, ἐν ὅσῳ τὸ ἕτερον κατὰ τᾶς ΚΛ ἐνηνεγμένον τὰν ΖΗ· ὁμοίως καὶ τὰν ΔΕ γραμμὰν ἐν ἴσῳ διαπορευέσθω τὸ σαμεῖον, ἐν ὅσῳ τὸ ἕτερον τὰν ΗΘ. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἁ ΓΔ ποτὶ τὰν ΔΕ, ὃν ἁ ΖΗ ποτὶ τὰν ΗΘ.

ἔστω δὴ ὁ χρόνος, ἐν ᾧ τὰν ΓΔ γραμμὰν διεπορεύετο τὸ σαμεῖον, ὁ ΜΝ. ἐν τούτῳ δὴ τῷ χρόνῳ καὶ τὸ ἕτερον σαμεῖον διαπορευέται τὰν ΖΗ. πάλιν δὲ καί, ἐν ᾧ τὰν ΔΕ γραμμὰν διεπορεύετο τὸ σαμεῖον, ἔστω ὁ ΝΞ χρόνος. ἐν τούτῳ δὴ καὶ τὸ ἕτερον σαμεῖον διαπορευέται τὰν ΗΘ. τὸν αὐτὸν δὴ λόγον ἑξοῦντι ἅ τε ΓΔ ποτὶ τὰν ΔΕ γραμμάν, ὃν ὁ χρόνος ὁ ΜΝ ποτὶ ΝΞ, καὶ ἁ ΖΗ ποτὶ τὰν ΗΘ, ὃν ὁ χρόνος ὁ ΜΝ ποτὶ τὸν ΝΞ. δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ ΓΔ ποτὶ τὰν ΔΕ, ὃν ἁ ΖΗ ποτὶ τὰν ΗΘ.

---

3. *αὐτοῦ*] scripsi; *αυτω* F, uulgo. 4. *λαφθενωντι* F. 5. *ἄν*] addidi; om. F, uulgo. *σαμείων*] sic F. 9. *εαυτο* F.

II.

Si duo puncta in sua quodque linea sibi ipsa aequabiliter feruntur, et in utraque linea duae lineae sumuntur, quarum linearum et priores et posteriores aequalibus temporibus a punctis permeentur, lineae sumptae eandem inter se rationem habebunt.

feratur in linea AB punctum aliquod sibi ipsum aequabiliter, et in linea $K\Lambda$ aliud punctum eodem modo. sumantur autem in linea AB duae lineae $\Gamma\Delta$, ΔE, et in linea $K\Lambda$ lineae ZH, $H\Theta$, et punctum, quod in linea AB fertur, eodem tempore lineam $\Gamma\Delta$ permeet, quo alterum punctum, quod in linea $K\Lambda$ fertur, lineam ZH permeat. et eodem modo etiam lineam ΔE eodem tempore permeet punctum, quo alterum lineam $H\Theta$ permeat. demonstrandum est, esse $\Gamma\Delta : \Delta E = ZH : H\Theta$.

tempus igitur, quo punctum lineam $\Gamma\Delta$ permeauit, sit MN. itaque hoc tempore alterum punctum lineam ZH permeat. rursus autem tempus, quo punctum lineam ΔE permeauit, sit $N\Xi$. hoc igitur tempore etiam alterum punctum lineam $H\Theta$ permeat. erit



igitur $\Gamma\Delta : \Delta E = MN : N\Xi$ et $ZH : H\Theta = MN : N\Xi$ [prop. 1]. adparet igitur, esse $\Gamma\Delta : \Delta E = ZH : H\Theta$.

---

10. *τᾷ*] *τω* F; corr. B. 14. *ἐνηνεγμένον*] scripsi; *ηνεγμενον* F, uulgo. 15. *σαμεῖον*] sic F, ut lin. 12. 21. *δέ*] Torellius; *δη* F, uulgo. 25. *ποτί*] (prius) *προς* per comp. F; corr. Torellius. 26. $N\Xi$] $M\Xi$ F. 27. *εχωντι* F.

γ'.

Κύκλων δοθέντων ὁποσωνοῦν τῷ πλήθει δυνατόν ἐστιν εὐθεῖαν λαβεῖν μείζονα ἐοῦσαν τᾶν τῶν κύκλων περιφερειᾶν.

περιγραφέντος γὰρ περὶ ἕκαστον τῶν κύκλων πολυγώνου δῆλον, ὡς ἡ ἐκ πασᾶν συγκειμένα τᾶν περιμέτρων εὐθεῖα μείζων ἐσσείται πασᾶν τᾶν τῶν κύκλων περιφερειᾶν.

δ'.

Δύο γραμμᾶν δοθεισᾶν ἀνισᾶν, εὐθείας τε καὶ κύκλου περιφερείας, δυνατόν ἐστι λαβεῖν εὐθεῖαν τᾶς μὲν μείζονος τᾶν δοθεισᾶν γραμμᾶν ἐλάσσονα, τᾶς δὲ ἐλάσσονος μείζονα.

ὁσάκις γὰρ ἁ ὑπεροχά, ᾇ ὑπερέχει ἁ μείζων γραμμὰ τᾶς ἐλάσσονος, αὐτὰ ἑαυτᾷ συντιθεμένα ὑπερέξει τᾶς εὐθείας, εἰς τόσαῦτα ἴσα διαιρεθείσας τᾶς εὐθείας τὸ ἓν τμᾶμα ἔλασσον ἐσσείται τᾶς ὑπεροχᾶς. εἰ μὲν οὖν κα ᾖ ἁ περιφέρεια μείζων τᾶς εὐθείας, ἑνὸς τμάματος ποτιτεθέντος ποτὶ τὰν εὐθεῖαν τᾶς μὲν ἐλάσσονος τᾶν δοθεισᾶν δῆλον ὡς μείζων ἐσσείται, τᾶς δὲ μείζονος ἐλάσσων. εἰ δέ κα ἐλάσσων, ἑνὸς τμάματος ποτιτεθέντος ποτὶ τὰν περιφέρειαν ὁμοίως τᾶς μὲν ἐλάσσονος μείζων ἐσσείται, τᾶς δὲ μείζονος ἐλάσσων. καὶ γὰρ ἁ ποτικειμένα ἐλάσσων ἐστὶ τᾶς ὑπεροχᾶς.

2. *ὁποσ* cum compp. *ων* et *οὖν* F. 3. *ουσαν* F, uulgo. 6. *πασων* F, uulgo. *συγκειμενη των* F, uulgo. 7. *ἐσσείται*] scripsi; *ἔσται* per comp. F; uulgo. 11. *λαβ* cum comp. *ην* F. 15. *αὐτὰ ἑαυτᾷ*] scripsi; *αυτα* F, uulgo. 16. *εἰς*] scripsi; *και εις* F, uulgo. 17. *ἐσσείται*] scripsi cum B; *ἔσται* per comp. F, uulgo. 18. *κα ᾖ*] scripsi; *και* F, uulgo. 20. *μείζων*] scripsi; *μειζον* F, uulgo. *μειζον* cum comp. *ας* F. 21. *εἰ δέ κα* usque ad *μείζονος ἐλάσσων* lin. 23 addidi; om. F, uulgo.

III.

Datis circulis quotlibet numero fieri potest, ut sumatur linea maior, quam ambitus circulorum. circumscripto enim circum singulos circulos polygono adparet, lineam ex omnibus eorum perimetris compositam maiorem futuram esse, quam omnes ambitus circulorum [de sph. et. cyl. I, 1].

IV.

Datis duabus lineis inaequabilibus, recta linea et circuli ambitu, fieri potest, ut sumatur linea recta minor maiore linearum datarum, minore autem maior.

nam quoties excessus, quo maior linea minorem excedit, sibi ipse adiectus lineam rectam excedet[1]), in tot partes aequales diuisa linea recta una pars minor erit excessu. iam si ambitus maior est linea recta, adparet, si unam partem ad lineam rectam adiiciamus, summam maiorem fore minore linearum datarum, minorem uero maiore. sin minor est [ambitus quam linea recta], si unam partem ad ambitum adiicimus, summa rursus minore linea maior erit, maiore autem minor. nam quae adiicitur, minor est excessu.[2])

---

1) Hoc fieri potest per lemma p. 14.

2) Sit p ambitus, l linea recta; erit igitur, si $p > l$, $n(p-l) > l$ ɔ: $p - l > \frac{1}{n} l$, $p > l + \frac{1}{n} l$; quare $p > l + \frac{1}{n} l > l$. sin $l > p$, erit: $n(l-p) > l$ ɔ: $l - p > \frac{1}{n} l$, $l > p + \frac{1}{n} l$; quare $l > p + \frac{1}{n} l > p$.

ε'.

Κύκλου δοθέντος καὶ εὐθείας ἐπιψαυούσας τοῦ κύκλου δυνατόν ἐστιν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ἀγαγεῖν εὐθεῖαν ποτὶ τὰν ἐπιψαύουσαν, ὥστε τὰν μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς τοῦ κύκλου περιφερείας εὐθεῖαν ποτὶ τὰν ἐκ τοῦ κέντρου ἐλάσσονα λόγον ἔχειν, ἢ ἁ περιφέρεια τοῦ κύκλου ἁ μεταξὺ τᾶς ἁφᾶς καὶ τᾶς διαχθείσας ποτὶ τὰν δοθεῖσαν ὁποιανοῦν κύκλου περιφέρειαν.

δεδόσθω κύκλος ὁ ΑΒΓ, κέντρον δὲ αὐτοῦ τὸ Κ, καὶ ἐπιψαυέτω τοῦ κύκλου ἁ ΔΖ κατὰ τὸ Β. δεδόσθω δὲ καὶ κύκλου περιφέρεια ὁποιαοῦν. δυνατὸν δή ἐστι τᾶς δοθείσας περιφερείας λαβεῖν τινα εὐθεῖαν μείζονα, καὶ ἔστω ἁ Ε εὐθεῖα μείζων τᾶς δοθείσας περιφερείας. ἄχθω δὲ ἀπὸ τοῦ Κ κέντρου παρὰ τὰν ΔΖ ἁ ΑΗ, καὶ κείσθω ἁ ΗΘ ἴσα τᾷ Ε νεύουσα ἐπὶ τὸ Β, ἀπὸ δὲ τοῦ Κ κέντρου ἐπὶ τὸ Θ ἐπιζευχθεῖσα ἐκβεβλήσθω. τὸν αὐτὸν δὴ λόγον ἔχει ἁ ΘΖ ποτὶ τὰν ΘΚ, ὃν ἁ ΒΘ ποτὶ τὰν ΘΗ. ἁ ἄρα ΖΘ ποτὶ τὰν ΘΚ ἐλάσσονα λόγον ἔχει τοῦ, ὃν ἁ ΒΘ περιφέρεια ποτὶ τὰν δοθεῖσαν περιφέρειαν, διότι ἁ μὲν ΒΘ εὐθεῖα ἐλάσσων ἐστὶ τᾶς ΒΘ περιφερείας, ἁ δὲ ΘΗ μείζων τᾶς δοθείσας περιφερείας. ἐλάσσονα οὖν λόγον ἔχει καὶ ἁ ΖΘ ποτὶ τὰν ἐκ τοῦ κέντρου, ἢ ἁ ΒΘ περιφέρεια ποτὶ τὰν δοθεῖσαν περιφέρειαν.

---

2. επιψαυουσης F; corr. Torellius. 12. δή] scripsi; δε F, uulgo. 15. ἀπό] διά? 17. δέ] scripsi; δη F, uulgo. 19. ἁ] (alt.) scripsi; η F, uulgo. 20. ὃν ἔχει ἁ suspicatur Torellius.

V.

Dato circulo et linea circulum contingenti fieri potest, ut a centro circuli ad contingentem linea ducatur, ita ut linea inter contingentem et ambitum circuli posita ad radium eam rationem habeat, quam ambitus circuli inter punctum contactus et lineam productam positus ad quemlibet datum ambitum circuli.

datus sit circulus $AB\Gamma$, et centrum eius sit K, et ΔZ circulum in B contingat. datus sit etiam quilibet ambitus circuli. fieri igitur potest, ut sumatur linea aliqua dato ambitu maior [prop. 3], et sit E dato ambitu maior. ducatur autem a centro K lineae ΔZ parallela linea AH, et ponatur $H\Theta$ linea lineae E aequalis ad punctum B uergens[1]), et [linea] a K puncto ad Θ ducta producatur. erit igitur



$$\Theta Z : \Theta K = B\Theta : \Theta H.^{2})$$

itaque $Z\Theta : \Theta K$ minorem rationem habet, quam ambitus $B\Theta$ ad datum ambitum, quia linea $B\Theta$ minor est ambitu $B\Theta$ [de sph. et cyl. I $\lambda\alpha\mu\beta$. 1 p. 8], et linea ΘH [quia lineae E aequalis est] maior ambitu dato [cfr. Eucl. V, 8]. itaque $Z\Theta$ ad radium minorem rationem habet, quam ambitus $B\Theta$ ad datum ambitum.

1) Quod quo modo fieri possit, Archimedes non dicit; cfr. Zeitschr. f. Math., hist. Abth. XXV p. 66 nr. 3.

2) Nam cum $\Delta Z \mathbin{/\!\!/} AH$, erit $\angle BZ\Theta = \Theta KH$; et

$$\angle B\Theta Z = K\Theta H;$$

quare $B\Theta Z \sim K\Theta H$; tum u. Eucl. VI, 4.

ϛʹ.

Κύκλου δοθέντος καὶ ἐν τῷ κύκλῳ γραμμᾶς ἐλάσσονος τᾶς διαμέτρου δυνατὸν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ποτὶ τὰν περιφέρειαν αὐτοῦ ποτιβαλεῖν εὐθεῖαν τέμνουσαν τὰν ἐν τῷ κύκλῳ δεδομέναν γραμμάν, ὥστε τὰν ἀπολαφθεῖσαν εὐθεῖαν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς εὐθείας τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἐπιζευχθεῖσαν ἀπὸ τοῦ πέρατος τᾶς ποτιπεσούσας τοῦ ἐπὶ τᾶς περιφερείας ποτὶ τὸ ἕτερον πέρας τᾶς ἐν τῷ κύκλῳ δεδομένας εὐθείας τὸν ταχθέντα λόγον ἔχειν, εἴ κα ὁ δοθεὶς λόγος ἐλάσσων ᾖ τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἀπὸ τοῦ κέντρου κάθετον ἐπ' αὐτὰν ἀγμέναν.

δεδόσθω κύκλος ὁ $AB\Gamma$, κέντρον δὲ αὐτοῦ τὸ K, καὶ ἐν αὐτῷ δεδόσθω εὐθεῖα ἐλάσσων τᾶς διαμέτρου ἁ $\Gamma\varDelta$, καὶ λόγος, ὃν ἔχει ἁ Z ποτὶ H, ἐλάσσων τοῦ, ὃν ἔχει ἁ $\Gamma\Theta$ ποτὶ τὰν $K\Theta$, καθέτου ἐούσας τᾶς $K\Theta$. ἄχθω δὲ ἀπὸ τοῦ κέντρου παρὰ τὰν $\varDelta\Gamma$ ἁ KN, καὶ τᾷ $K\Gamma$ ποτ' ὀρθὰς ἁ $\Gamma\varLambda$. ὁμοῖα δή ἐστι τὰ $\Gamma\Theta K$, $\Gamma K\varLambda$ τρίγωνα. ἔστιν οὖν, ὡς ἁ $\Gamma\Theta$ ποτὶ τὰν ΘK, οὕτως ἁ $K\Gamma$ ποτὶ τὰν $\Gamma\varLambda$. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ Z ποτὶ τὰν H, ἢ ἁ $K\Gamma$ ποτὶ τὰν $\Gamma\varLambda$. ὃν δὴ λόγον ἔχει ἁ Z ποτὶ τὰν H, τοῦτον ἐχέτω ἁ $K\Gamma$ ποτὶ μείζονα τᾶς $\Gamma\varLambda$. ἐχέτω ποτὶ τὰν BN. κείσθω δὲ ἁ BN μεταξὺ τᾶς περιφερείας καὶ τᾶς εὐθείας διὰ τοῦ Γ·



10. πέρας] μερος F; corr. Torellius. 11. κα] scripsi; και F, uulgo. ᾖ] scripsi; ην F, uulgo. 13. αγμεναν F; corr.

VI.

Dato circulo et in circulo linea minore, quam diametrus est, fieri potest, ut a centro circuli ad ambitum eius ponatur linea lineam in circulo datam secans, ita ut linea inter ambitum et lineam in circulo datam comprehensa ad lineam, quae ducitur ab eo termino lineae ad ambitum ductae, qui in ambitu est, ad utrumuis terminum lineae in circulo datae datam rationem habeat, si ratio data minor est ea, quam habet dimidia pars lineae in circulo datae ad lineam a centro ad eam perpendicularem ductam.

sit datus circulus $AB\Gamma$, et centrum eius K, et in eo data sit linea $\Gamma\Delta$ minor diametro, et ratio, quam habet $Z:H$, minor ea, quam habet $\Gamma\Theta : K\Theta$, perpendiculari ducta linea $K\Theta$. ducatur autem a centro linea KN lineae $\Delta\Gamma$ parallela, et linea $\Gamma\Lambda$ ad $K\Gamma$ perpendicularis. erit igitur $\Gamma\Theta K \sim \Gamma K\Lambda$ [Eucl. I, 29]. quare $\Gamma\Theta : \Theta K = K\Gamma : \Gamma\Lambda$ [Eucl. VI, 4]. erit igitur $Z : H < K\Gamma : \Gamma\Lambda$. itaque quam rationem habet $Z : H$, eam habebit $K\Gamma$ ad lineam maiorem linea $\Gamma\Lambda$ [Eucl. V, 10]. habeat ad lineam BN. et ponatur linea BN per punctum Γ [1]) inter ambitum et lineam [KN]. [2]) fieri enim potest, ut ita secetur. [3]) et cadet

1) Cfr. Zeitschr. f. Math., hist. Abth. XXV p. 66 not.

2) Per τᾶς εὐθείας lin. 29 uidetur significari linea $\Delta\Gamma$. quod cum ferri nequeat, fortasse addendum τᾶς KN.

3) Hoc problema eodem fere redit, quo problema p. 28 not. 1 commemoratum.

Torellius. 16. ποτί] προς per comp. F; corr. Torellius. 17. ουσας F, uulgo. 18. δὲ καί B, ed. Basil. 19. τη F, uulgo. 27. ἐχέτω ἁ] ἕξει ἁ? ποτί] προς per comp. F; corr. Torellius. 28. ποτί] om. F; corr. Torellius; fort. del. ἐχέτω.

δυνατὸν δέ ἐστιν οὕτως τεμεῖν· καὶ πεσεῖται ἐκτός, ἐπεὶ μείζων ἐστὶν τᾶς ΓΔ. ἐπεὶ οὖν ἁ ΚΒ ποτὶ ΒΝ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ Ζ ποτὶ Η, καὶ ἁ ΕΒ ποτὶ ΒΓ τὸν αὐτὸν ἕξει λόγον, ὃν ἁ Ζ ποτὶ Η.

ζʹ.

Τῶν αὐτῶν δεδομένων καὶ τᾶς ἐν τῷ κύκλῳ εὐθείας ἐκβεβλημένας δυνατόν ἐστιν ἀπὸ τοῦ κέντρου ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν, ὥστε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας ποτὶ τὰν ἐπιζευχθεῖσαν ἀπὸ τοῦ πέρατος τᾶς ἐναπολαφθείσας ποτὶ τὸ πέρας τᾶς ἐκβεβλημένας τὸν ταχθέντα λόγον ἔχειν, εἴ κα ὁ δοθεὶς λόγος μείζων ᾖ τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἀπὸ τοῦ κέντρου κάθετον ἐπ' αὐτὰν ἀγμέναν.

δεδόσθω τὰ αὐτά, καὶ ἔστω ἁ ἐν τῷ κύκλῳ γραμμὰ ἐκβεβλημένα, ὁ δὲ δοθεὶς λόγος ἔστω, ὃν ἔχει ἁ Ζ ποτὶ τὰν Η, μείζων τοῦ, ὃν ἔχει ἁ ΓΘ ποτὶ τὰν ΘΚ. μείζων οὖν ἐσσεῖται καὶ τοῦ, ὃν ἔχει ἁ ΚΓ ποτὶ ΓΔ. ὃν δὴ λόγον ἔχει ἁ Ζ ποτὶ Η, τοῦτον ἕξει ἁ ΚΓ ποτὶ ἐλάσσονα τᾶς ΓΔ· ἐχέτω ποτὶ ΙΝ νεύουσαν ἐπὶ τὸ Γ· δυνατὸν δέ ἐστιν οὕτως τέμνειν· καὶ πεσεῖται ἐντὸς τᾶς ΓΔ, ἐπειδὴ ἐλάσσων ἐστὶ τᾶς ΓΔ. ἐπεὶ οὖν τὸν αὐτὸν ἔχει λόγον ἁ ΚΓ



2. *ΚΒ*] *ΚΒΓ* expuncta *Γ* F; *ΚΓ* BC*; *ΓΚ* VD; *ΒΚ* ed. Basil., Torellius. *ποτί*] *προς* per comp. F; corr. C*. 3. *τὰν Η* ed. Basil., Torellius. 8. *εὐθεῖαν ποτί* susp. Torellius;

extra [lineam $\Gamma\Lambda$][1], quia maior est linea $\Gamma\Lambda$. iam quoniam $KB : BN = Z : H$ [nam $KB = K\Gamma$], erit etiam $EB : B\Gamma = Z : H$ [nam $KB : BN = EB : B\Gamma$; Eucl. VI, 2].

VII.

Iisdem datis et linea in circulo posita producta fieri potest, ut a centro ad lineam productam ponatur linea, ita ut linea inter ambitum et lineam productam ad lineam, quae a termino lineae [in circulo] comprehensae ad terminum productae ducitur, datam rationem habeat, si data ratio maior est ea, quam habet dimidia pars lineae in circulo datae ad lineam a centro ad eam perpendicularem ductam.

eadem data sint, et linea in circulo posita producatur, et data ratio sit $Z : H$, maior quam $\Gamma\Theta : \Theta K$. quare etiam $Z : H > K\Gamma : \Gamma\Lambda$.[2]) quam igitur rationem habet $Z : H$, eam habebit $K\Gamma$ ad lineam minorem linea $\Gamma\Lambda$ [Eucl. V, 10]; habeat ad lineam IN ad punctum Γ uergentem. fieri autem potest, ut ita secetur.[3]) et intra lineam $\Gamma\Lambda$ cadet, quoniam

1) Puto, haec uerba audiri posse, neque necesse esse cum Nizzio scribere: τέμνειν, καὶ πεσεῖται ἐκτὸς τᾶς $\Gamma\Lambda$ lin. 1.

2) Nam $K\Gamma\Theta \sim K\Gamma\Lambda$; quare $\Gamma\Theta : \Theta K = K\Gamma : \Gamma\Lambda$ (Eucl. VI, 4).

3) U. prop. 5 p. 23 not. 1.

probat Nizzius. 10. εναπολημφθεισας F. 12. κα] scripsi; και F, uulgo. 15. εστω per comp., addito στε F; ἐστώτε C. 21. ποτί] προς per comp. F; corr. Torellius, ut lin. 22, 23, 25, p. 28 lin 1 (ter). 26. τεμν cum comp. ην F. της F; corr. Torellius. 27. της per comp. F; corr. Torellius.

ποτὶ *IN*, ὃν ἁ *Z* ποτὶ *H*, καὶ ἁ *EI* ποτὶ *IΓ* τὸν αὐτὸν ἕξει λόγον, ὃν ἁ *Z* ποτὶ τὰν *H*.

η′.

Κύκλου δοθέντος καὶ ἐν τῷ κύκλῳ γραμμᾶς ἐλάσσονος τᾶς διαμέτρου καὶ ἄλλας ἐπιψαυούσας τοῦ κύκλου κατὰ τὸ πέρας τᾶς ἐν τῷ κύκλῳ δεδομένας δυνατὸν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ποτιβαλεῖν τινα εὐθεῖαν ποτὶ τὰν εὐθεῖαν, ὥστε τὰν ἀπολαφθεῖσαν ἀπ' αὐτᾶς μεταξὺ τᾶς τοῦ κύκλου περιφερείας καὶ τᾶς ἐν τῷ κύκλῳ δεδομένας γραμμᾶς ποτὶ τὰν ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπιψαυούσας τὸν ταχθέντα λόγον ἔχειν, εἴ κα ὁ δοθεὶς λόγος ἐλάσσων ᾖ τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου κάθετον ἐπ' αὐτὰν ἀγμέναν.

ἔστω κύκλος δεδομένος ὁ *ΑΒΓΔ*, καὶ ἐν τῷ κύκλῳ εὐθεῖα δεδόσθω ἐλάσσων τᾶς διαμέτρου ἁ *ΓΔ*, καὶ ἁ *ΞΔ* ἐπιψαυέτω τοῦ κύκλου κατὰ τὸ *Γ*, καὶ λόγος, ὃν ἔχει ἁ *Z* ποτὶ *H*, ἐλάσσων τοῦ, ὃν ἔχει ἁ *ΓΘ* ποτὶ *ΘK*. ἐσσεῖται δὴ ἐλάσσων καὶ τοῦ, ὃν ἔχει ἁ *ΓK* ποτὶ *ΓΔ*, εἴ κα παράλληλος ἀχθῇ ἁ *KΔ* τᾷ *ΘΓ*. ἐχέτω δὴ ἁ *KΓ* ποτὶ *ΓΞ* τὸν αὐτὸν λόγον, ὃν ἁ *Z* ποτὶ *H*. μείζων δή ἐστιν ἁ *ΞΓ* τᾶς *ΓΔ*. γεγράφθω κύκλου περιφέρεια περὶ τὰ *K*, *Δ*, *Ξ*. ἐπεὶ οὖν ἐστι μείζων ἁ *ΞΓ* τᾶς *ΓΔ*, καὶ ποτ' ὀρθάς ἐντι ἀλλάλαις αἱ *KΓ*, *ΞΔ*, δυνατόν ἐστι τᾷ *MΓ* ἴσαν ἄλλαν θέμεν τὰν *IN*

2. εξουσι F; corr. Torellius. 8. ποτὶ τὰν εὐθεῖαν errore om. Riualtus; prob. Torellius. αποληφθεισαν F; corr. Torellius, ut lin. 10. 11. τᾶς] της τας FC. 12. ᾖ] scripsi; εστι F, uulgo. 18. ποτί (bis)] προς per comp. F; corr. Torellius, ut lin. 20, 21 (bis); p. 30, 2, 3, 5, 9, 10, 11, 12, 13, 14 (bis). *H*] *H* ἔστω BC, ed. Basil., Torellius. 20. ἁ] η F; corr. To-

minor est linea $\Gamma\Delta$. iam quoniam est $K\Gamma : IN = Z : H$, erit etiam $EI : I\Gamma = Z : H$.[1])

VIII.

Dato circulo et in eo linea, quae minor est diametro, et alia linea circulum in termino lineae in circulo datae contingenti, fieri potest, ut a centro circuli ad lineam [datam] linea ponatur, ita ut ea pars eius, quae inter ambitum circuli et lineam in circulo datam abscinditur, ad partem contingentis lineae abscisam datam rationem habeat, si data ratio minor est ea, quam habet dimidia pars lineae in circulo datae ad lineam a centro ad eam perpendicularem ductam.

datus sit circulus $AB\Gamma\Delta$, et in circulo data sit linea $\Gamma\Delta$ minor diametro, et linea $\Xi\Delta$ circulum in puncto Γ contingat, et [data sit] ratio $Z : H$, minor ea, quam habet $\Gamma\Theta : \Theta K$. erit igitur etiam

$$Z : H < \Gamma K : \Gamma\Delta,$$

si $K\Delta$ lineae $\Theta\Gamma$ parallela ducitur.[2]) sit igitur

$$K\Gamma : \Gamma\Xi = Z : H.$$

itaque erit $\Xi\Gamma > \Gamma\Delta$ [Eucl. V, 10]. describatur ambitus circuli per puncta K, Δ, Ξ. iam quoniam $\Xi\Gamma > \Gamma\Delta$, et $K\Gamma \perp \Xi\Delta$, fieri potest, ut ponatur

1) Nam $\Gamma IE \sim KIN$; quare $KI : IN = EI : I\Gamma$; sed $KI = K\Gamma$.
2) Nam $K\Theta\Gamma \sim K\Gamma\Delta$; tum u. Eucl. VI, 4.

rellius. τᾷ] τη F; corr. Torellius. 22. δή] δε F; corr. Torellius. 24. αλληλαις F; corr. Torellius.

νεύουσαν ἐπὶ τὸ *K*. τὸ δὴ περιεχόμενον ὑπὸ τᾶν *ΞI*, *IΛ* ποτὶ τὸ ὑπὸ τᾶν *KE*, *IΛ* τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ *ΞI* ποτὶ *KE*, καὶ τὸ ὑπὸ τᾶν *KI*, *IN* ποτὶ τὸ ὑπὸ τᾶν *KI*, *ΓΛ* τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ *IN* ποτὶ *ΓΛ*. ὥστε καὶ ἁ *IN* ποτὶ *ΓΛ* ἐστιν, ὡς ἁ *ΞI* ποτὶ *KE*. ὥστε καὶ ἁ *ΓM* ποτὶ *ΓΛ*, καὶ ἁ *ΞΓ* ποτὶ *KΓ* καὶ ποτὶ *KB* ἐστιν, ὡς ἁ *ΞI* ποτὶ *KE*, καὶ λοιπὰ ἁ *IΓ* ποτὶ *BE* τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ *ΞΓ* ποτὶ τὰν *ΓK*, καὶ ὃν ἁ *H* ποτὶ *Z*. πέπτωκεν οὖν ἁ *KN* ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἔχει ἁ μεταξὺ τᾶς περιφερείας καὶ τᾶς εὐθείας ἁ *BE* ποτὶ τὰν ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπιψαυούσας τὸν αὐτὸν λόγον, ὃν ἁ *Z* ποτὶ τὰν *H*.



ϑ'.

Τῶν αὐτῶν δεδομένων καὶ τᾶς ἐν τῷ κύκλῳ δεδομένας γραμμᾶς ἐκβεβλημένας δυνατὸν ἀπὸ τοῦ κέντρου τοῦ κύκλου ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν εὐθεῖαν, ὥστε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας ποτὶ τὰν ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπι-

---

1. τᾶν] του F; corr. Torellius. 2. *ΞIΛ* F; corr. AB. τᾶν] των F; corr. Torellius. 4. τᾶν] των per comp. F; corr. Torellius, ut lin. 6. 5. *KIN* F; corr. ed. Basil. 6. τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ *IN* ποτὶ *ΓΛ*] om. F; corr. Commandinus. 8. ἁ] η F; corr. Torellius, ut lin. 10, 11, 12, 13, 14. 14. λοιπη F, uulgo. 15. Z] scripsi; το Z F, uulgo. 18.

linea IN lineae $M\Gamma$ aequalis ad punctum K uergens.[1]) erit igitur $\Xi I \times I\varDelta : KE \times I\varDelta = \Xi I : KE$, et $KI \times IN : KI \times \Gamma\varDelta = IN : \Gamma\varDelta$. quare erit $IN : \Gamma\varDelta = \Xi I : KE$.[2]) quare etiam

$$\Gamma M : \Gamma\varDelta = \Xi I : KE$$

[nam $IN = \Gamma M$], et

$\Xi\Gamma : K\Gamma = \Xi\Gamma : KB$ [nam $K\Gamma = KB$] $= \Xi I : KE$.[3])

et $I\Gamma : BE = \Xi\Gamma : \Gamma K$[4]) $= H : Z$.

itaque linea KN ad lineam contingentem ducta est, et linea inter ambitum et lineam [$\varDelta\Gamma$] posita, h. e. BE, ad partem lineae contingentis [a KN] abscisam [h. e. $I\Gamma$] eandem rationem habet quam $Z : H$.

IX.

Iisdem datis et producta linea in circulo data fieri potest, ut a centro circuli ad lineam productam ponatur [linea], ita ut linea inter ambitum et lineam productam posita ad eam partem lineae contingentis,

---

1) Quod quo modo per sectiones conicas fieri possit, ostendit Pappus I p. 298 (cfr. p. 272) duobus lemmatis praemissis; de cuius loci emendatione u. Zeitschr. f. Math., hist. Abth. XXIII p. 117 sq.; Baltzer apud Hultsch: Papp. III p. 1231 sq.

2) Nam $\Xi I \times I\varDelta = KI \times IN$ (Eucl. III, 35),
et $KE \times I\varDelta = KI \times \Gamma\varDelta$,
quia $E\Gamma \# K\varDelta$ (tum u. Eucl. VI, 2).

3) Nam $\Gamma M : \Gamma\varDelta = \Xi\Gamma : K\Gamma$ (Eucl. III, 35).

4) Nam cum sit $\Xi\Gamma : KB = \Xi I : KE$, erit ἐναλλάξ
$\Xi\Gamma : \Xi I = KB : KE$,
unde ἀναστρέψαντι $\Xi\Gamma : I\Gamma = KB : BE = \Gamma K : BE$; tum ἐναλλάξ $\Xi\Gamma : \Gamma K = I\Gamma : BE$.

αποληφθεισαν F; corr. Torellius. αυτον εχει λογον F; corr. Torellius. 19. ὃν ἔχει Torellius. Η λογον F, uulgo; λογον deleui.

ψανούσας ποτὶ τὰν ἁφὰν τὸν ταχθέντα λόγον ἔχειν, εἴ κα ὁ δοθεὶς λόγος μείζων ᾖ τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ἐν τῷ κύκλῳ δεδομένας ποτὶ τὰν ἀπὸ τοῦ κέντρου κάθετον ἐπ᾽ αὐτὰν ἀγομέναν.

δεδόσθω κύκλος ὁ ΑΒΓΔ, καὶ ἐν τῷ κύκλῳ εὐθεῖα ἐλάσσων τᾶς διαμέτρου ἁ ΓΑ διάχθω, καὶ ἐπιψανέτω τοῦ κύκλου ἁ ΞΓ κατὰ τὸ Γ, καὶ λόγος, ὃν ἔχει ἁ Ζ ποτὶ τὰν Η, μείζων τοῦ, ὃν ἔχει ἁ ΓΘ ποτὶ τὰν ΘΚ. ἐσσεῖται δὴ μείζων καὶ τοῦ, ὃν ἔχει ἁ ΚΓ ποτὶ τὰν ΓΑ. ἐχέτω οὖν ἁ ΚΓ ποτὶ τὰν ΓΞ τὸν αὐτὸν λόγον, ὃν ἁ Ζ ποτὶ τὰν Η. ἐλάσσων ἄρα ἐστὶν αὐτὰ τᾶς ΓΑ. πάλιν δὴ γεγράφθω κύκλος διὰ τῶν Ξ, Κ, Α σαμείων. ἐπεὶ οὖν ἐλάσσων ἐστὶν ἁ ΞΓ τᾶς ΓΑ, καὶ ποτ᾽ ὀρθάς ἐντι ἀλλάλαις αἱ ΚΜ, ΞΓ, δυνατὸν τᾷ ΓΜ ἴσαν θέμεν τὰν ΙΝ νεύουσαν ἐπὶ τὸ Κ. ἐπεὶ οὖν τὸ ὑπὸ τᾶν ΞΙ, ΙΑ ποτὶ τὸ ὑπὸ τᾶν ΑΙ, ΚΕ ἐστιν, ὡς ΞΙ ποτὶ ΚΕ, ἀλλὰ τῷ μὲν ὑπὸ τᾶν ΞΙ, ΙΑ ἴσον ἐστὶν τὸ ὑπὸ τᾶν ΚΙ, ΙΝ, τῷ δὲ ὑπὸ τᾶν ΑΙ, ΚΕ ἴσον ἐστὶ τὸ ὑπὸ τᾶν ΚΙ, ΓΑ διὰ τὸ εἶμεν, ὡς τὰν ΚΕ ποτὶ ΙΚ, οὕτως τὰν ΑΓ ποτὶ ΑΙ, καὶ ὡς ἄρα ἁ ΞΙ ποτὶ ΚΕ, οὕτως τὸ ὑπὸ τᾶν ΚΙ, ΙΝ ποτὶ τὸ ὑπὸ τᾶν ΚΙ, ΓΑ, τουτέστιν ὡς ΝΙ ποτὶ ΓΑ, τουτέστιν ἁ ΓΜ ποτὶ ΓΑ.



2. ᾖ] scripsi; om. F, uulgo; ἦν Torellius. 6. διήχθω F; corr. Torellius. 9. ἐσσεῖται] scripsi; ἔσται per comp. F, uulgo.

quae ad punctum tactionis uersus abscinditur, datam rationem habeat, si data ratio maior est ea, quam habet dimidia pars lineae in circulo datae ad lineam a centro ad eam perpendicularem ductam.

datus sit circulus $AB\Gamma\Delta$, et in circulo linea $\Gamma\Lambda$ ducatur minor diametro, et circulum in puncto Γ contingat linea $\Xi\Gamma$, et [data sit] ratio $Z:H$ maior ea, quam habet $\Gamma\Theta:\Theta K$. erit igitur etiam

$$Z:H > K\Gamma:\Gamma\Lambda.$$

sit igitur $K\Gamma:\Gamma\Xi = Z:H$. itaque erit $\Gamma\Xi < \Gamma\Lambda$ [Eucl. V, 10]. rursus igitur circulus per puncta Ξ, K, Λ describatur. iam quoniam $\Xi\Gamma < \Gamma\Lambda$, et $KM \perp \Xi\Gamma$, fieri potest, ut ponatur lineae ΓM aequalis linea IN ad K uergens.[1]) iam quoniam

$$\Xi I \times I\Lambda : \Lambda I \times KE = \Xi I : KE,$$

et $KI \times IN = \Xi I \times I\Lambda$ [Eucl. III, 35], et

$$KI \times \Gamma\Lambda = \Lambda I \times KE,$$

quia $KE:IK = \Lambda\Gamma:\Lambda I$[2]), erit igitur etiam

$$\Xi I:KE = KI \times IN : KI \times \Gamma\Lambda = NI:\Gamma\Lambda = \Gamma M:\Gamma\Lambda.$$

1) De hoc problemate cfr. p. 31 not. 1.

2) Quia $KI\Lambda \sim \Gamma IE$, erit $\Gamma I : I\Lambda = EI : IK$ (Eucl. VI, 4), unde *συνθέντι* $\Gamma\Lambda : I\Lambda = KE : IK$.

10. *εχετο* F. 13. *αυτη της* F; corr. Torellius. 17. *της* F; corr. Torellius. 19. *ἐντι*] *εισιν* F, uulgo. *αλληλαις* F; corr. Torellius. 20. *τη* F; corr. Torellius. 21. *ισ* cum comp. *ην* F; corr. Torellius. *θειναι την* F; corr. Torellius. 22. *τᾶν*] *των* (comp.) F; corr. Torellius, ut lin. 23, 24 (bis), 25, 26, 28 (bis). $\Xi I\Lambda$ F, uulgo, ut lin. 24. 23. *ποτί* (bis)] *προς* per comp. F; corr. Torellius, ut lin. 26, 27 bis, 28, 29 bis, p. 34 lin. 1 bis, 2 bis. ΛI, KE] ΛKE supra scripta I man. 2 F. 24. *τῷ*] *το* F. 26. *εἶμεν*] *ειναι* per comp. F; corr. Torellius. 27. *η* F; corr. Torellius, ut lin. 29, p. 34 lin. 1 bis, 2.

ἔστιν δὲ καὶ ὡς ἁ ΓΜ ποτὶ ΓΛ, ἁ ΞΓ ποτὶ ΚΓ, τουτέστι ποτὶ ΚΒ. ἔστιν ἄρα, ὡς ἁ ΞΙ ποτὶ ΚΕ, ἁ ΞΓ ποτὶ ΚΒ· καὶ λοιπὰ ἁ ΙΓ ποτὶ λοιπὰν τὰν ΒΕ ἐστιν, ὡς ἁ ΞΓ ποτὶ ΓΚ. ὃν δὲ λόγον ἔχει ἁ ΞΓ ποτὶ ΓΚ, τοῦτον ἔχει ἁ Η ποτὶ Ζ. ποτιπέπτωκεν δὴ ἁ ΚΕ ποτὶ τὰν ἐκβεβλημέναν, καὶ ἁ μεταξὺ τᾶς ἐκβεβλημένας καὶ τᾶς περιφερείας ἁ ΒΕ ποτὶ τὰν ΓΙ τὰν ἀπὸ τᾶς ἐπιψαυούσας ἀπολαφθεῖσαν τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ Ζ ποτὶ τὰν Η.

ι′.

Εἴ κα γραμμαὶ ἑξῆς τεθέωντι ὁποσαιοῦν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι, ᾖ δὲ ἁ ὑπεροχὰ ἴσα τᾷ ἐλαχίστᾳ, καὶ ἄλλαι γραμμαὶ τεθέωντι τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα τᾷ μεγίστᾳ, τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτιλαμβάνοντα τό τε ἀπὸ τᾶς μεγίστας τετράγωνον καὶ τὸ περιεχόμενον ὑπό τε τᾶς ἐλαχίστας καὶ τᾶς ἴσας πάσαις ταῖς τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαις τριπλάσια ἐσσοῦνται τῶν τετραγώνων πάντων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν.

ἔστων γραμμαὶ ὁποσαιοῦν ἐφεξῆς κειμέναι τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι αἱ Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ, ἁ δὲ Θ ἴσα ἔστω τᾷ ὑπεροχᾷ. ποτικείσθω δὲ ποτὶ τὰν Β ἴσα τᾷ Θ ἁ Ι, ποτὶ δὲ τὰν Γ ἁ Κ ἴσα τᾷ Η, ποτὶ δὲ τὰν Δ ἁ Λ ἴσα τᾷ Ζ, ποτὶ δὲ τὰν Ε ἁ Μ ἴσα τᾷ

---

1. οὕτως ἁ ΞΓ ed. Basil., Torellius. 3. η F; corr. Torellius (bis), ut lin. 4 bis, 5. ποτί] προς per comp. F; corr. Torellius (bis), ut lin. 4, 5 bis. λοιπη et λοιπην F, uulgo. 8. αποληφθεισαν F. 18. ταῖς] addidi; om. F. uulgo. 21. ἔστων] scripsi; εστω F, uulgo; ἔστωσαν AV et Nizzius. 25. ἁ] (prius) om. F.

est autem etiam

$$\Gamma M : \Gamma \Lambda = \Xi\Gamma : K\Gamma \text{ [Eucl. III, 35] } = \Xi\Gamma : KB.$$

erit igitur $\Xi I : KE = \Xi\Gamma : KB$, et $I\Gamma : BE = \Xi\Gamma : \Gamma K$.[1]) sed $\Xi\Gamma : \Gamma K = H : Z$. itaque linea KE ad lineam productam ducta est, et linea BE, quae inter lineam productam et ambitum posita est, ad lineam ΓI, quae a linea contingenti abscisa est, eandem rationem habet, quam $Z : H$.

X.

Si quotlibet lineae deinceps datae sunt aequali spatio inter se excedentes, et excessus minimae aequalis est, et praeterea aliae lineae datae sunt numero iis aequales, magnitudine autem singulae maximae [aequales][2]), quadrata linearum maximae aequalium adiecto et quadrato maximae et rectangulo comprehenso minima lineaque omnibus simul lineis inter se aequali spatio excedentibus aequali triplo maiora erunt omnibus quadratis linearum aequali spatio inter se excedentium.

lineae quotlibet deinceps datae sint aequali spatio inter se excedentes $A, B, \Gamma, \Delta, E, Z, H, \Theta$, et Θ aequalis sit excessui. et lineae B adiiciatur linea I lineae Θ aequalis, Γ autem lineae linea K lineae H aequalis, Δ autem lineae linea Λ lineae Z aequalis, E autem lineae linea M lineae E aequalis, Z autem

1) Nam ἐναλλάξ est: $\Xi I : \Xi\Gamma = KE : KB$, unde διελόντι $I\Gamma : \Xi\Gamma = BE : KB$; tum ἐναλλάξ.

2) Fortasse scribendum lin. 14: ἑκάστα ἴσα τᾷ.

Ε, ποτὶ δὲ τὰν Ζ ἁ Ν ἴσα τᾷ Δ, ποτὶ δὲ τὰν Η ἁ Ξ ἴσα τᾷ Γ, ποτὶ δὲ τὰν Θ ἁ Ο ἴσα τᾷ Β. ἐσσοῦνται δὴ αἱ γενομέναι ἴσαι ἀλλάλαις καὶ τᾷ μεγίστᾳ. δεικτέον οὖν, ὅτι τὰ τετράγωνα τὰ ἀπὸ πασᾶν τᾶς τε Α καὶ τᾶν γενομέναν ποτιλαβόντα τό τε ἀπὸ τᾶς Α τετράγωνον καὶ τὸ περιεχόμενον ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας πάσαις ταῖς Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ τριπλάσιά ἐντι τῶν τετραγώνων πάντων τῶν ἀπὸ τᾶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ.

ἔστιν δὴ τὸ μὲν ἀπὸ τᾶς ΒΙ τετράγωνον ἴσον τοῖς ἀπὸ τᾶν Ι, Β τετραγώνοις καὶ δύο τοῖς ὑπὸ τᾶν Β, Ι περιεχομένοις. τὸ δὲ ἀπὸ τᾶς ΚΓ ἴσον τοῖς ἀπὸ τᾶν Κ, Γ τετραγώνοις καὶ δύο τοῖς ὑπὸ τᾶν Κ, Γ περιεχομένοις. ὁμοίως δὴ καὶ τὰ ἀπὸ τᾶν ἀλλᾶν τᾶν ἰσᾶν τᾷ Α τετράγωνα ἴσα ἐντὶ τοῖς ἀπὸ τῶν τμαμάτων τετραγώνοις καὶ δυσὶ τοῖς ὑπὸ τῶν τμαμάτων περιεχομένοις. τὰ μὲν οὖν ἀπὸ τᾶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ καὶ τὰ ἀπὸ τᾶν Ι, Κ, Λ, Μ, Ν, Ξ, Ο ποτιλαβόντα τὸ ἀπὸ τᾶς Α τετράγωνον διπλάσιά ἐντι τῶν ἀπὸ τᾶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ τετραγώνων. λοιπὸν δὲ ἐπιδείξομες, ὅτι τὰ διπλάσια τῶν περιεχομένων ὑπὸ τῶν τμαμάτων τῶν ἐν ἑκατέρᾳ γραμμᾷ τᾶν ἰσᾶν τᾷ Α ποτιλαβόντα τὸ περιεχόμενον ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας πάσαις ταῖς



3. *δή*] Nizzius; *δε* F, uulgo; „igitur" Cr. 11. *τᾶν*] (prius) scripsi; *των* F, uulgo, ut etiam lin. 13, 14. *δύο*] *δυσί* Torellius, ut lin. 13 (h. l. etiam B). 12. *της* F; corr. Torellius. 13. *περι-*

lineae linea N lineae Δ aequalis, H autem lineae linea Ξ lineae Γ aequalis, Θ autem lineae linea O lineae B aequalis. itaque quae oriuntur lineae, inter se et lineae maximae aequales erunt. demonstrandum igitur, quadrata omnium linearum, et lineae A et earum, quae ortae sunt [adiiciendo], cum quadrato lineae A et rectangulo comprehenso linea Θ et linea omnibus simul $A, B, \Gamma, \Delta, E, Z, H, \Theta$ aequali triplo maiora esse omnibus quadratis linearum $A, B, \Gamma, \Delta, E, Z, H, \Theta$.[1])

est igitur $(B+I)^2 = I^2 + B^2 + 2BI$ [Eucl. II, 4], et $(K+\Gamma)^2 = K^2 + \Gamma^2 + 2K\Gamma$. eodem modo igitur etiam ceterarum linearum lineae A aequalium quadrata aequalia sunt quadratis partium et duobus rectangulis a partibus comprehensis. iam

$$A^2 + B^2 + \Gamma^2 + \Delta^2 + E^2 + Z^2 + H^2 + \Theta^2 + I^2 + K^2 + \Lambda^2 + M^2 + N^2 + \Xi^2 + O^2 + A^2 = 2(A^2 + B^2 + \Gamma^2 + \Delta^2 + E^2 + Z^2 + H^2 + \Theta^2).$$ [2])

deinde restat, ut demonstremus, dupla rectangulorum partibus uniuscuiusque linearum lineae A aequalium comprehensorum cum rectangulo

1) H. e. demonstrandum est esse
$$A^2 + (B+I)^2 + (\Gamma+K)^2 + (\Delta+\Lambda)^2 + (E+M)^2 + (Z+N)^2 + (H+\Xi)^2 + (\Theta+O)^2 + A^2 + \Theta \times (A+B+\Gamma+\Delta+E+Z+H+\Theta) = 3(A^2 + B^2 + \Gamma^2 + \Delta^2 + E^2 + Z^2 + H^2 + \Theta^2).$$

2) Nam $I = \Theta$, $K = H$, $\Lambda = Z$, $M = E$, $N = \Delta$, $\Xi = \Gamma$, $O = B$.

εχομενεων F; corr. B. 14. *δή*] *δέ* Torellius. 17. *ὑπό*] scripsi; *απο* F, uulgo. 21. *Ο ποτιλαβόντα*] *ΟΠ οτι* (comp.) *λαβοντα* F; corr. AB. 23. *τᾶν*] *των* F, uulgo. 25. *επιδειξομεν* F, uulgo. 26. *τῶν ἐν*] scripsi; *τῶν* om. F, uulgo.

Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ ἴσα ἐντὶ τοῖς ἀπὸ τᾶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ. καί ἐντι δύο μὲν τὰ ὑπὸ Β, Ι περιεχόμενα ἴσα δυσὶ τοῖς ὑπὸ τᾶν Β, Θ περιεχομένοις, δύο δὲ τὰ ὑπὸ τᾶν Κ, Γ ἴσα τῷ περιεχομένῳ ὑπό τε τᾶς Θ καὶ τᾶς τετραπλασίας τᾶς Γ διὰ τὸ τὰν Κ διπλασίονα εἶμεν τᾶς Θ, δύο δὲ τὰ ὑπὸ τᾶν Δ, Λ ἴσα τῷ ὑπὸ τᾶς Θ καὶ τᾶς ἑξαπλασίας τᾶς Δ διὰ τὸ τὰν Λ τριπλασίαν εἶμεν τᾶς Θ. ὁμοίως δὴ καὶ τὰ ἄλλα τὰ διπλάσια τὰ περιεχόμενα ὑπὸ τῶν τμαμάτων ἴσα ἐντὶ τῷ περιεχομένῳ ὑπό τε τᾶς Θ καὶ τᾶς πολλαπλασίας ἀεὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἀρτίους τᾶς ἑπομένας γραμμᾶς. τὰ οὖν σύμπαντα ποτιλαβόντα τὸ περιεχόμενον ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας πάσαις ταῖς Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ ἐσσοῦνται ἴσα τῷ περιεχομένῳ ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας πάσαις τᾷ τε Α καὶ τᾷ τριπλασίᾳ τᾶς Β καὶ τᾷ πενταπλασίᾳ τᾶς Γ καὶ ἀεὶ τᾷ [περισσᾷ] κατὰ τοὺς ἑξῆς ἀριθμοὺς περισσοὺς πολλαπλασίᾳ τᾶς ἑπομένας γραμμᾶς. ἐντὶ δὲ καὶ τὰ ἀπὸ τᾶν Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ τετράγωνα ἴσα τῷ περιεχομένῳ ὑπὸ τᾶν αὐτᾶν γραμμᾶν. ἔστι γὰρ τὸ ἀπὸ τᾶς Α τετράγωνον ἴσον τῷ περιεχομένῳ ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας [πάσαις] τᾷ τε Α καὶ τᾷ ἴσᾳ ταῖς λοιπαῖς, ἂν ἑκάστα ἴσα τᾷ Α· ἰσάκις γὰρ μετρεῖ ἅ τε Θ τὰν Α, καὶ ἁ Α τὰς ἴσας αὐτᾷ πάσας σὺν τᾷ Α. ὥστε ἴσον ἐστὶ τὸ ἀπὸ Α τετράγωνον τῷ περιεχομένῳ ὑπό τε τᾶς Θ καὶ τᾶς ἴσας τᾷ Α καὶ τᾷ διπλασίᾳ τᾶν Β, Γ, Δ, Ε, Ζ, Η, Θ· αἱ γὰρ ἴσαι τᾷ Α πάσαι

---

1. *των* F, uulgo, ut lin. 3, 4. 2. *καί ἐντι*] scripsi; *και επει* F, uulgo. 8. *δή*] scripsi; *δε* F, uulgo. 10. *παλλαπλασιας* F. 17. *περισσᾷ*] deleo. 18. *πολλαπλασίᾳ*] scripsi; *πολλαπλασιους* F, uulgo. 19. *τᾶν*] *των* F, uulgo. 22. *πά-*

$$\Theta \times (A + B + \Gamma + \Delta + E + Z + H + \Theta)$$

aequalia esse omnibus simul

$$A^2 + B^2 + \Gamma^2 + \Delta^2 + E^2 + H^2 + \Theta^2.$$

est enim $2B \times I = 2B \times \Theta$, et $2K \times \Gamma = \Theta \times 4\Gamma$, quia $K = 2\Theta$, et $2\Delta \times \Lambda = \Theta \times 6\Delta$, quia $\Lambda = 3\Theta$. eodem modo igitur etiam dupla ceterorum rectangulorum partibus comprehensorum aequalia sunt rectangulis comprehensis linea Θ et linea semper secundum numeros pares deinceps positos multiplici lineae sequentis. omnia igitur [rectangulorum dupla] cum rectangulo

$$\Theta \times (A + B + \Gamma + \Delta + E + Z + H + \Theta)$$

aequalia erunt

$$\Theta \times (A + 3B + 5\Gamma + 7\Delta + 9E + 11Z + 13H + 15\Theta).$$

sed etiam

$$A^2 + B^2 + \Gamma^2 + \Delta^2 + E^2 + Z^2 + H^2 + \Theta^2$$

eidem rectangulo aequalia sunt. nam A^2 aequale est rectangulo comprehenso linea Θ et linea, quae aequalis est et lineae A et lineae aequali ceteris, quarum quaeque lineae A aequalis est.[1]) [nam quoties linea Θ lineam A metitur, toties etiam linea A omnes lineas sibi aequales cum linea A]. quare erit

$$A^2 = \Theta \times (A + 2(B + \Gamma + \Delta + E + Z + H + \Theta)).$$

---

1) H. e. $A^2 = \Theta \times (A + (B + I) + (\Gamma + K) + (\Delta + \Lambda) + (E + M) + (Z + N) + (H + \Xi) + (\Theta + O)) = \Theta \times 8A$; sed $\Theta = \frac{1}{8} A$.

σαις] deleo. 23. ἄν] ων F, uulgo. ισαχ cum comp. ης F. 24. σύν] εν F; corr. Torellius. 27. τᾶν] των F, uulgo. B] AB F; corr. B, ut p. 40 lin. 1.

χωρὶς τᾶς *Α* διπλασίαι ἐντὶ τᾶν *Β*, *Γ*, *Δ*, *Ε*, *Ζ*, *Η*, *Θ*. ὁμοίως δὲ καὶ τὸ ἀπὸ τᾶς *Β* τετράγωνον ἴσον ἐντὶ τῷ περιεχομένῳ ὑπό τε τᾶς *Θ* καὶ τᾶς ἴσας τᾷ τε *Β* καὶ τᾷ διπλασίᾳ τᾶν *Γ*, *Δ*, *Ε*, *Ζ*, *Η*, *Θ*. καὶ πάλιν τὸ ἀπὸ τᾶς *Γ* τετράγωνον ἴσον τῷ ὑπὸ τᾶς *Θ* καὶ τᾶς ἴσας τᾷ τε *Γ* καὶ τᾷ διπλασίᾳ τᾶν *Δ*, *Ε*, *Ζ*, *Η*, *Θ*. ὁμοίως δὲ καὶ τὰ ἀπὸ τᾶν ἀλλᾶν τετράγωνα ἴσα ἐντὶ τοῖς περιεχομένοις ὑπό τε τᾶς *Θ* καὶ τᾶς ἴσας αὐτᾷ τε καὶ τᾷ διπλασίᾳ τᾶν λοιπᾶν. δῆλον οὖν, ὅτι τὰ ἀπὸ πασᾶν τετράγωνα ἴσα ἐντὶ τῷ περιεχομένῳ ὑπό τε τᾶς *Θ* καὶ τᾶς ἴσας πάσαις τᾷ τε *Α* καὶ τᾷ τριπλασίᾳ τᾶς *Β* καὶ τᾷ πενταπλασίᾳ τᾶς *Γ* καὶ τᾷ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς περισσοὺς πολλαπλασίᾳ τᾶς ἑπομένας.

ΠΟΡΙΣΜΑ.

Ἐκ τούτου οὖν φανερόν, ὅτι τὰ τετράγωνα πάντα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ τῶν μὲν τετραγώνων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν ἐλάσσονά ἐστιν ἢ τριπλάσια, ἐπειδὴ ποτιλαβόντα τινὰ τριπλάσιά ἐντι, τῶν δὲ λοιπῶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας τετραγώνου μείζονα ἢ τριπλάσια, ἐπειδὴ τὰ ποτιλαφθέντα ἐλάσσονά ἐστιν ἢ τριπλάσια τοῦ ἀπὸ τᾶς μεγίστας

---

5. της *Γ* F; corr. Torellius. ὑπό τε τᾶς *Θ* B. 6. *Δ*] om. F; corr. Torellius. 9. των λοιπων F, uulgo. 14. πόρισμα] om. F, uulgo. 19. της μεγιστης F; corr. D. Post τετραγώνου in F uacat spatium adpositis IV punctis.

[nam $(B + I) + (\Gamma + K) + (\Delta + \Lambda) + (E + M)$
$+ (Z + N) + (H + \Xi) + (\Theta + N)$
$= 2(B + \Gamma + \Delta + E + Z + H + \Theta)$].

eodem autem modo etiam

$$B^2 = \Theta \times (B + 2(\Gamma + \Delta + E + Z + H + \Theta)),$$

et rursus

$$\Gamma^2 = \Theta \times (\Gamma + 2(\Delta + E + Z + H + \Theta))$$ [1],

et eodem modo etiam ceterarum quadrata aequalia sunt rectangulis comprehensis linea Θ et linea aequali ipsi lineae et duplo ceterarum. adparet igitur, quadrata omnium [linearum] aequalia esse rectangulo comprehenso linea Θ et linea, quae aequalis est $A + 3B + 5\Gamma + 7\Delta + 9E + 11Z + 13H + 15\Theta$.[2]

COROLLARIUM.

Hinc igitur manifestum est, omnia quadrata linearum maximae aequalium minora esse quam triplo maiora [omnibus] quadratis linearum aequali spatio inter se excedentium, quoniam adiectis demum quibusdam [spatiis][3] triplo maiora sunt, reliquis autem praeter quadratum maximae maiora esse quam triplo maiora, quoniam quae adiecta sunt, minora sunt quam

1) Cum littera Δ lin. 6 in codd. desit, fortasse sic scribendum est lin. 6: *καὶ τᾷ διπλασίᾳ τᾶν Δ, E, Z, H, Θ. καὶ πάλιν τὸ ἀπὸ τᾶς Δ τετράγωνον ἴσον τῷ ὑπὸ τᾶς Θ καὶ τᾶς ἴσας τᾷ τε Δ καὶ τᾷ διπλασίᾳ τᾶν E, Z, H, Θ.*

2) Huius demonstrationis tenor mire praeposterus est; quare suspicari licet, hic illic quaedam explicandi causa interposita esse, quae in interpretatione Latina uncis inclusi. demonstratio ipsa magis perspicue exposita est et simul ea ratione, qua nunc utimur, confecta ab Nizzio p. 126—27; cfr. Quaest. Arch. p. 52—53.

3) Sc. $A^2 + \Theta \times (A + B + \Gamma + \Delta + E + Z + H + \Theta)$.

τετραγώνου. καὶ τοίνυν εἴ κα ὁμοῖα εἴδεα ἀναγραφέωντι ἀπὸ πασᾶν ἀπό τε τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν καὶ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ, τὰ εἴδεα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ τῶν μὲν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν εἰδέων ἐλάσσονα ἐσσοῦνται ἢ τριπλάσια, τῶν δὲ λοιπῶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας εἴδεος μείζονα ἢ τριπλάσια. τὸν γὰρ αὐτὸν ἑξοῦντι λόγον τὰ ὁμοῖα εἴδεα τοῖς τετραγώνοις.

ια'.

Εἴ κα γραμμαὶ ἑξῆς τεθέωντι ὁποσαιοῦν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχοῦσαι, καὶ ἄλλαι γραμμαὶ τεθέωντι τῷ μὲν πλήθει μιᾷ ἐλασσόνες τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ, τὰ τετράγωνα πάντα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ μὲν τὰ τετράγωνα τὰ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τᾶς ἐλαχίστας ἐλάσσονα λόγον ἔχοντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μεγίστας ποτὶ τὸ ἴσον ἀμφοτέροις τῷ τε περιεχομένῳ ὑπό τε τᾶς μεγίστας καὶ τᾶς ἐλαχίστας καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς τετραγώνου, ᾇ ὑπερέχει ἁ μεγίστα τᾶς ἐλαχίστας, ποτὶ δὲ τὰ τετράγωνα τὰ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας τετραγώνου μείζονα τοῦ αὐτοῦ λόγου.

ἔστωσαν γὰρ γραμμαὶ ὁποσαιοῦν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχοῦσαι ἑξῆς κειμέναι, ἁ μὲν AB τᾶς $\Gamma\Delta$, ἁ δὲ

1. ἀναγραφέωντι] scripsi; αναγεγραφεωντι F, uulgo. 3. τὰ εἴδεα .. μεγίστᾳ] om. F; corr. Commandinus. Ante prop. 11 in F spatium quasi figurae relinquitur; in mg. adscripsit manus 2: „vacat spã". 16. της ελαχιστης FB*; fort. τοῦ ἀπὸ τᾶς ἐλ. 19. τοῦ .. τετραγώνου] scripsi; τω .. τετραγωνω F, uulgo. 24. ἔστωσαν] per comp. F.

triplo maiora quadrato maximae.[1]) et etiam si species similes construuntur in omnibus lineis, et iis, quae aequali spatio inter se excedunt, et quae maximae aequales sunt, species in lineis maximae aequalibus minores erunt quam triplo maiores, quam [omnes] species, quae in lineis aequali spatio inter se excedentibus constructae sunt, reliquis autem praeter eam, quae in maxima constructa est, maiores quam triplo maiores. nam species similes eandem rationem habebunt, quam quadrata [Eucl. VI, 20].

XI.

Si lineae quotlibet deinceps ponuntur aequali spatio inter se excedentes, et aliae quoque lineae ponuntur numero una pauciores lineis aequali spatio inter se excedentibus, magnitudine uero singulae maximae aequales, omnia quadrata linearum maximae aequalium ad quadrata linearum aequali spatio inter se excedentium praeter [quadratum] minimae minorem rationem habent, quam quadratum maximae ad spatium utrique aequale, et rectangulo maxima et minima comprehenso et tertiae parti quadrati excessus, quo maxima minimam excedit, ad quadrata autem linearum aequali spatio inter se excedentium praeter quadratum maximae rationem maiorem eadem ratione.

sint enim quotlibet lineae aequali spatio inter se excedentes deinceps positae, ita ut linea AB lineam

1) $A^2 = \Theta \times (A + (B + I) + (\Gamma + K) + (\Delta + \Lambda) + (E + M) + (Z + N) + (H + \Xi) + (\Theta + O))$ (p. 39 not. 1) $> \Theta \times (A + B + \Gamma + \Delta + E + Z + H + \Theta)$. itaque quae adiecta sunt, erunt $< 2\,A^2$.

ΓΔ τᾶς ΕΖ, ἁ δὲ ΕΖ τᾶς ΗΘ, ἁ δὲ ΗΘ τᾶς ΙΚ, ἁ δὲ ΙΚ τᾶς ΛΜ, ἁ δὲ ΛΜ τᾶς ΝΞ. ποτικείσθω δὲ ποτὶ μὲν τὰν ΓΔ ἴσα μιᾷ ὑπεροχᾷ ἁ ΓΟ, ποτὶ δὲ τὰν ΕΖ ἴσα δυσὶν ὑπεροχαῖς ἁ ΕΠ, ποτὶ δὲ τὰν ΗΘ ἴσα τρισὶν ὑπεροχαῖς ἁ ΗΡ, καὶ ποτὶ τὰς ἄλλας τὸν αὐτὸν τρόπον. ἐσσοῦνται δὴ αἱ γενομέναι ἀλλάλαις ἴσαι, καὶ ἑκάστα τᾷ μεγίστᾳ. δεικτέον οὖν, ὅτι τὰ ἀπὸ πασᾶν τᾶν γενομέναν τετράγωνα ποτὶ μὲν πάντα τὰ τετράγωνα τὰ ἀπὸ πασᾶν τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ΝΞ τετραγώνου ἐλάσσονα λόγον ἔχει, ἢ τὸ ἀπὸ τᾶς ΑΒ τετράγωνον ποτὶ τὸ ἴσον ἀμφοτέροις τῷ τε περιεχομένῳ ὑπὸ τᾶν ΑΒ, ΝΞ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ΝΥ τετραγώνου, ποτὶ δὲ τὰ τετράγωνα τὰ ἀπὸ τᾶν αὐτᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου μείζονα λόγον ἔχει τοῦ αὐτοῦ λόγου.

ἀπολελάφθω ἀφ' ἑκάστας τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν ἴσα τᾷ ὑπεροχᾷ. ὃν δὴ λόγον ἔχει τὸ ἀπὸ τᾶς ΑΒ ποτὶ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΒ, ΦΒ περιεχόμενον καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΦ τετραγώνου, τοῦτον ἔχει τὸν λόγον τό τε ἀπὸ τᾶς ΟΔ τετράγωνον ποτί τε τὸ περιεχόμενον ὑπὸ τᾶν ΟΔ, ΔΧ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΧΟ τετραγώνου, καὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΠΖ ποτὶ τὸ περιεχόμενον ὑπὸ τᾶν ΠΖ, ΨΖ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΨΠ τετραγώνου, καὶ τὰ ἀπὸ τᾶν ἀλλᾶν τετράγωνα ποτὶ τὰ ὁμοίως λαμβανόμενα χωρία. καὶ τὰ πάντα δὴ τὰ ἀπὸ πασᾶν τᾶν ΟΔ, ΠΖ, ΡΘ, ΣΚ, ΤΜ, ΥΞ ποτί τε πάντα τὰ περιεχόμενα ὑπό τε τᾶς

3. δέ] Nizze; δη F, uulgo. τάν] τα F; corr. B. 6. αλ-

$\Gamma\Delta$ excedat, $\Gamma\Delta$ lineam EZ, EZ lineam $H\Theta$, $H\Theta$ lineam IK, IK lineam ΛM, ΛM lineam $N\Xi$. et lineae $\Gamma\Delta$ adiiciatur linea ΓO uni excessui aequalis, lineae autem EZ duobus excessibus aequalis linea $E\Pi$, lineae autem $H\Theta$ tribus aequalis linea HP, ceterisque eodem modo. itaque quae oriuntur lineae, inter se aequales erunt, et unaquaeque maximae [aequalis]. demonstrandum igitur, quadrata omnium linearum, quae [adiiciendo] ortae sunt, ad omnia quadrata omnium linearum aequali spatio inter se excedentium praeter quadratum lineae $N\Xi$ minorem rationem habere, quam $AB^2 : AB \times N\Xi + \frac{1}{3} N\Upsilon^2$, ad quadrata uero earundem linearum praeter quadratum lineae AB rationem maiorem eadem ratione·

a singulis lineis aequali spatio inter se excedentibus abscindatur [linea] excessui aequalis. itaque erit:

$$AB^2 : AB \times \Phi B + \frac{1}{3} A\Phi^2$$
$$= O\Delta^2 : O\Delta \times \Delta X + \frac{1}{3} XO^2$$
$$= \Pi Z^2 : \Pi Z \times \Psi Z + \frac{1}{3} \Psi\Pi^2,$$

et eandem rationem habebunt quadrata ceterarum [linearum] ad spatia similiter composita. quare etiam erit [Eucl. V, 12]

λῃλαις F; corr. Torellius. 13. $H\Xi$ F. 28. $P\Theta$] PO F. 29. τά] addidi; om. F, uulgo.

ΝΞ καὶ τᾶς ἴσας πάσαις ταῖς εἰρημέναις γραμμαῖς καὶ τὰ τριταμόρια τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ τὸν αὐτὸν ἐξοῦντι λόγον, ὃν τὸ ἀπὸ τᾶς ΑΒ τετράγωνον ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΒ, ΦΒ περιεχόμενον καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ ΦΑ τετραγώνου. εἰ οὖν κα δειχϑῇ τό τε περιεχόμενον ὑπό τε τᾶς ΝΞ καὶ τᾶς ἴσας πάσαις ταῖς ΟΔ, ΠΖ, ΡΘ, ΣΚ, ΤΜ, ΥΞ καὶ τὰ τρίτα μέρεα τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ τῶν μὲν τετραγώνων τῶν ἀπὸ τᾶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ ἐλάττονα, τῶν δὲ τετραγώνων τῶν ἀπὸ τᾶν ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ, ΝΞ μείζονα, δεδειγμένον ἐσσεῖται τὸ προτεϑέν. ἐντὶ δὴ τὸ μὲν περιεχόμενον ὑπό τε τᾶς ΝΞ καὶ τᾶς ἴσας πάσαις ταῖς ΟΔ, ΠΖ, ΡΘ, ΣΚ, ΤΜ, ΥΞ καὶ τὰ τρίτα μέρεα τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ ἴσα τοῖς τετραγώνοις τοῖς ἀπὸ ΧΔ, ΨΖ, ΩΘ, ϡΚ, ϙΜ, ΝΞ καὶ τῷ περιεχομένῳ ὑπό τε τᾶς ΝΞ καὶ τᾶς ἴσας πάσαις ταῖς ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ καὶ τῷ τρίτῳ μέρει τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ. τὰ δὲ ἀπὸ τᾶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ τετράγωνα ἴσα τοῖς ἀπὸ τᾶν ΒΦ, ΧΔ, ΨΖ,



2. τριταμωρια F. 3. Σϡ] ΣΛ F, ut lin. 10 et infra saepius; nam ϡ in F plerumque ita deprauatum est, ut simillimum sit litterae Λ, et eandem formam praebet ed. Basil. (Λ). Τϙ] hic et lin. 10 littera ϙ in similitudinem compendii πρός corrupta est. 9. μερη F, uulgo. 10. μέν] addidi; om. F,

$$O\Delta^2 + \Pi Z^2 + P\Theta^2 + \Sigma K^2 + TM^2 + \Upsilon\Xi^2 :$$
$$N\Xi \times (O\Delta + \Pi Z + P\Theta + \Sigma K + TM + \Upsilon\Xi)^{1)}$$
$$+ \tfrac{1}{3}(OX^2 + \Pi\Psi^2 + P\Omega^2 + \Sigma ϡ^2 + Tϙ^2 + \Upsilon N^2)$$
$$= AB^2 : AB \times \Phi B + \tfrac{1}{3}\Phi A^2.$$

itaque si demonstrauerimus

$$N\Xi \times (O\Delta + \Pi Z + P\Theta + \Sigma K + TM + \Upsilon\Xi)$$
$$+ \tfrac{1}{3}(OX^2 + \Pi\Psi^2 + P\Omega^2 + \Sigma ϡ^2 + Tϙ^2 + \Upsilon N^2)$$
$$< AB^2 + \Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2,$$

sed

$$> \Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2 + N\Xi^2,$$

demonstratum erit, quod propositum est [Eucl. V, 8]. erit igitur

$$N\Xi \times (O\Delta + \Pi Z + P\Theta + \Sigma K + TM + \Upsilon\Xi)$$
$$+ \tfrac{1}{3}(OX^2 + \Pi\Psi^2 + P\Omega^2 + \Sigma ϡ^2 + Tϙ^2 + \Upsilon N^2)$$
$$= (X\Delta^2 + \Psi Z^2 + \Omega\Theta^2 + ϡK^2 + ϙM^2 + N\Xi^2)$$
$$+ N\Xi \times (OX + \Pi\Psi + P\Omega + \Sigma ϡ + Tϙ + \Upsilon N)$$
$$+ \tfrac{1}{3}(OX^2 + \Pi\Psi^2 + P\Omega^2 + \Sigma ϡ^2 + Tϙ^2 + \Upsilon N^2).^{2)}$$

---

1) Nam $\Delta X = \Psi Z = \Omega\Theta = Kϡ = Mϙ = N\Xi$. Archimedes enim tacite supponit, hic quoque minimam linearum aequali spatio inter se excedentium excessui aequalem esse (nec alioquin in demonstrando prop. X uti potuit), quamquam nec ad demonstrationem conficiendam per se necessarium est, nec postea, ubi hac propositione utitur (prop. 25 et 26), ab eo adsumitur.

2) Nam $O\Delta = OX + X\Delta$, $\Pi Z = \Pi\Psi + \Psi Z$ cett., et $N\Xi = X\Delta = \Psi Z$ cett.

---

uulgo. 12. τραγωνων F. 17. $\Upsilon\Xi$] ΥN F; corr. Torellius. 18. μερη F, uulgo. 21. $\Omega\Theta$] pro Ω in F est compendium uerbi οντως mire corruptum. 23. καί τᾶς] τᾶς om. F, uulgo.

ΩΘ, ϡΚ, ϙΜ τετραγώνοις καὶ τοῖς ἀπὸ τᾶν ΑΦ, ΓΧ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ καὶ τῷ περιεχομένῳ ὑπὸ τᾶς ΒΦ καὶ τᾶς διπλασίας τᾶν ΑΦ, ΓΧ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ. κοινὰ μὲν οὖν ἐντι ἑκατέρων τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ ΝΞ. τὸ δὲ περιεχόμενον ὑπὸ τᾶς ΝΞ καὶ τᾶς ἴσας ταῖς ΟΧ, ΠΨ, ΩΡ, ϡΣ, ϙΤ, ΥΝ ἔλασσόν ἐστι τοῦ περιεχομένου ὑπό τε τᾶς ΒΦ καὶ τᾶς διπλασίας τᾶν ΑΦ, ΓΧ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ διὰ τὸ τὰς νῦν εἰρημένας γραμμὰς ταῖς μὲν ΓΟ, ΕΠ, ΡΗ, ΙΣ, ΛΤ, ΥΝ ἴσας εἶμεν, τᾶν δὲ λοιπᾶν μειζόνας. καὶ τὰ τετράγωνα δὲ τὰ ἀπὸ τᾶν ΑΦ, ΓΧ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ μείζονά ἐντι τοῦ τρίτου μέρεος τῶν ἀπὸ τᾶν ΟΧ, ΠΨ, ΡΩ, Σϡ, Τϙ, ΥΝ· δεδείκται γὰρ τοῦτο ἐν τοῖς ἐπάνω. ἐλάττονα ἄρα ἐντὶ τὰ ῥηθέντα χωρία τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΑΒ, ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ. λοιπὸν δὲ δειξοῦμες, ὅτι μείζονά ἐντι τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ, ΝΞ. πάλιν δὴ τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ, ΝΞ ἴσα ἐντὶ τοῖς τε ἀπὸ τᾶν ΧΓ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ καὶ τοῖς ἀπὸ τᾶν ΧΔ, ΨΖ, ΩΘ, ϡΚ, ϙΜ, ΝΞ καὶ τῷ περιεχομένῳ ὑπό τε τᾶς ΝΞ καὶ τᾶς διπλασίας πασᾶν τᾶν ΓΧ, ΕΨ, ΗΩ, Ιϡ, Λϙ. καί ἐστι κοινὰ μὲν τὰ ἀπὸ τᾶν ΧΔ, ΨΖ, ΩΘ, ϡΚ, Μϙ, ΝΞ, μεῖζον δὲ τὸ ὑπό τε τᾶς ΝΞ καὶ τᾶς ἴσας

2. *ΗΩ*] *ΜΩ* F supra scripto *Η* manu 1. *Ιϡ*] *Ρϡ* supra scripto *Ι* manu 1 F. 3. *ταν ΒΦ* F; corr. A?, ed. Basil. *ΗΩ*] *ΝΩ* F. In figura pro ϡ in F scribitur *Π*, pro ϙ littera *Τ*. 9. *γραμμαις* F; corr. Torellius. *ΓΟ*] *ΓΘ* F, sed corr. manus 1. 12. *μείζονά ἐντι* . . . lin. 13: *ΥΝ*] om. F; corr. Torellius (nisi quod *μέρους* habet lin. 12) et Commandinus (*ἐστι, μέρους, τῶν τετραγώνων τῶν ἀπό*). 15. *τᾶν*] *των* per comp. F; corr. Torellius. 16. *δειξομεν* F, uulgo. 20. *καὶ τοῖς* . . . lin. 21: *ΝΞ*] om. F; corr. Commandinus. 22. *ΗΩ*] *Η* om. F.

sed

$$AB^2 + \Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2$$
$$= (B\Phi^2 + X\Delta^2 + \Psi Z^2 + \Omega\Theta^2 + \text{ϡ}K^2 + \text{ϙ}M^2)$$
$$+ (A\Phi^2 + \Gamma X^2 + E\Psi^2 + H\Omega^2 + I\text{ϡ}^2 + \Lambda\text{ϙ}^2)$$
$$+ B\Phi \times 2(A\Phi + \Gamma X + EZ + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ})$$

[Eucl. II, 4]. itaque utriusque partis communia sunt quadrata linearum lineae $N\Xi$ aequalium, et praeterea est $N\Xi \times (OX + \Pi\Psi + \Omega P + \text{ϡ}\Sigma + \text{ϙ}T + \Upsilon N)$ $< B\Phi \times 2(A\Phi + \Gamma X + E\Psi + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ})$, quia hae lineae aequales sunt lineis

$$\Gamma O + E\Pi + PH + I\Sigma + \Lambda T + \Upsilon N,$$

sed reliquis $[\Gamma X + E\Psi + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ}]$ maiores

[et $OX + \Pi\Psi + \Omega P + \text{ϡ}\Sigma + \text{ϙ}T + \Upsilon N$
$= (\Gamma O + E\Pi + PH + I\Sigma + \Lambda T + \Upsilon N)$
$+ (\Gamma X + E\Psi + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ})$].

sed etiam

$$A\Phi^2 + \Gamma X^2 + E\Psi^2 + H\Omega^2 + I\text{ϡ}^2 + \Lambda\text{ϙ}^2$$
$$> \tfrac{1}{3}(OX^2 + \Pi\Psi^2 + P\Omega^2 + \Sigma\text{ϡ}^2 + T\text{ϙ}^2 + \Upsilon N^2).$$

hoc enim supra demonstratum est [prop. 10 coroll. p. 40]. itaque [omnia simul], quae commemorauimus, spatia erunt

$$< AB^2 + \Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2.$$

deinde autem demonstrabimus, maiora ea esse quam $\Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2 + N\Xi^2$. rursus igitur erit:

$$\Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2 + N\Xi^2$$
$$= (X\Gamma^2 + E\Psi^2 + H\Omega^2 + I\text{ϡ}^2 + \Lambda\text{ϙ}^2)$$
$$+ (X\Delta^2 + \Psi Z^2 + \Omega\Theta^2 + \text{ϡ}K^2 + \text{ϙ}M^2 + N\Xi^2)$$
$$+ N\Xi \times 2(\Gamma X + E\Psi + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ})$$ [Eucl. II, 4].

et communia sunt

$$X\Delta^2 + \Psi Z^2 + \Omega\Theta^2 + \text{ϡ}K^2 + M\text{ϙ}^2 + N\Xi^2,$$

πάσαις ταῖς ΟΧ, ΠΨ, ΡΩ, ΣϠ, Τϙ, ΥΝ τοῦ ὑπὸ τᾶς ΝΞ καὶ τᾶς διπλασίας πασᾶν τᾶν ΓΧ, ΕΨ, ΗΩ, ΙϠ, Λϙ. ἐντὶ δὲ καὶ τὰ τετράγωνα τὰ ἀπὸ τᾶν ΧΟ, ΨΠ, ΩΡ, ϠΣ, ϙΤ, ΥΝ τῶν ἀπὸ τᾶν ΓΧ, ΕΨ, ΗΩ, ΙϠ, Λϙ μείζονα ἢ τριπλάσια. δεδείκται γὰρ καὶ τοῦτο. μείζονα ἄρα ἐντὶ τὰ ῥηθέντα χωρία τῶν τετραγώνων τῶν ἀπὸ τᾶν ΓΔ, ΕΖ, ΗΘ, ΙΚ, ΛΜ, ΝΞ.

ΠΟΡΙΣΜΑ.

Καὶ τοίνυν εἴ κα ὁμοῖα ἀναγραφέωντι ἀπὸ πασᾶν ἀπό τε τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν καὶ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ εἴδεα, πάντα τὰ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ τὰ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας εἴδεος ἐλάσσονα λόγον ἑξοῦντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μεγίστας ποτὶ τὸ ἴσον ἀμφοτέροις τῷ τε περιεχομένῳ ὑπό τε τᾶς μεγίστας καὶ τᾶς ἐλαχίστας καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ μεγίστα τᾶς ἐλαχίστας, ποτὶ δὲ τὰ ἀπὸ τᾶν αὐτᾶν εἴδεα χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα τοῦ αὐτοῦ λόγου. τὸν αὐτὸν γὰρ ἑξοῦντι λόγον τὰ ὁμοῖα εἴδεα τοῖς τετραγώνοις.

ΟΡΟΙ.

α΄. Εἴ κα εὐθεῖα ἐπιζευχθῇ γραμμὰ ἐν ἐπιπέδῳ καὶ μένοντος τοῦ ἑτέρου πέρατος αὐτᾶς ἰσοταχέως

1. ΠΨ] ΠΡ F. 3. τά] (prius) addidi; om. F, uulgo. 6. ἐντί] εντη F. 8. πόρισμα] om. F, uulgo; „corollarium praemissae“ Cr. 10. αναγραφεντι F; corr. B. 11. ἰσᾶν ... lin. 12: ἀπὸ τᾶν] om. F; corr. Torellius. 14. τό] (prius) τω F. 20. εξουσι F, uulgo. 21. ὅροι] om. F, uulgo; „definitiones“ Cr. 23. καί] om. F; corr. Torellius. ισοταχει ως F; corr. B.

et $N\Xi \times (OX + \Pi\Psi + P\Omega + \Sigma\text{ϡ} + T\text{ϙ} + \Upsilon N)$
$> N\Xi \times 2(\Gamma X + E\Psi + H\Omega + I\text{ϡ} \times \Lambda\text{ϙ})$.[1])
et praeterea sunt

$$XO^2 + \Psi\Pi^2 + \Omega P^2 + \text{ϡ}\Sigma^2 + \text{ϙ}T^2 + \Upsilon N^2$$
$$> 3(\Gamma X^2 + E\Psi^2 + H\Omega^2 + I\text{ϡ}^2 + \Lambda\text{ϙ}^2).$$

nam hoc quoque demonstratum est [prop. 10 coroll. p. 40]. itaque [omnia simul] spatia, quae commemorauimus, maiora sunt quam

$$\Gamma\Delta^2 + EZ^2 + H\Theta^2 + IK^2 + \Lambda M^2 + N\Xi^2.$$

COROLLARIUM.

Quare etiam si in omnibus lineis, et iis, quae aequali spatio inter se excedunt, et iis, quae maximae aequales sunt, similes species construuntur, omnes species in lineis maximae aequalibus constructae ad species in lineis aequali spatio inter se excedentibus constructas praeter speciem in minima constructam minorem rationem habebunt, quam quadratum maximae lineae ad spatium utrique aequale, et rectangulo linea maxima et minima comprehenso et tertiae parti quadrati excessus, quo maxima minimam excedit, ad species uero in iisdem lineis constructas praeter speciem in maxima constructam rationem eadem ratione maiorem. nam species similes eandem rationem habebunt, quam quadrata [Eucl. VI, 20].

DEFINITIONES.

I. Si in plano recta linea ducitur et manente altero termino aequabiliter circumacta rursus in eum

1) Nam $\Gamma O + E\Pi + PH + I\Sigma + \Lambda T + \Upsilon N$
$> \Gamma X + E\Psi + H\Omega + I\text{ϡ} + \Lambda\text{ϙ}$;
tum u. p. 49, 12 sq.

περιενεχθεῖσα ἀποκατασταθῇ πάλιν, ὅθεν ὥρμασεν, ἁμὰ δὲ τᾷ γραμμᾷ περιαγομένᾳ φέρηταί τι σαμεῖον ἰσοταχέως αὐτὸ ἑαυτῷ κατὰ τᾶς εὐθείας ἀρξάμενον ἀπὸ τοῦ μένοντος πέρατος, τὸ σαμεῖον ἕλικα γράψει ἐν τῷ ἐπιπέδῳ.

β'. καλείσθω οὖν τὸ μὲν πέρας τᾶς εὐθείας τὸ μένον περιαγομένας αὐτᾶς ἀρχὰ τὰς ἕλικος.

γ'. ἁ δὲ θέσις τᾶς γραμμᾶς, ἀφ' ἇς ἄρξατο ἁ εὐθεῖα περιφερέσθαι, ἀρχὰ τᾶς περιφορᾶς.

δ'. εὐθεῖα, ἂν μὲν ἐν τᾷ πρώτᾳ περιφορᾷ διαπορευθῇ τὸ σαμεῖον τὸ κατὰ τᾶς εὐθείας φερόμενον, πρώτα καλείσθω, ἂν δ' ἐν τᾷ δευτέρᾳ περιφορᾷ τὸ αὐτὸ σαμεῖον διανύσῃ, δευτέρα, καὶ αἱ ἄλλαι ὁμοίως ταύταις ὁμωνύμως ταῖς περιφοραῖς καλείσθωσαν.

ε'. τὸ δὲ χωρίον τὸ περιλαφθὲν ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γραφείσας καὶ τᾶς εὐθείας, ἅ ἐστιν πρώτα, πρῶτον καλείσθω, τὸ δὲ περιλαφθὲν ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γραφείσας καὶ τᾶς εὐθείας τᾶς δευτέρας δεύτερον καλείσθω, καὶ τὰ ἄλλα ἑξῆς οὕτω καλείσθω.

ϛ'. καὶ εἴ κα ἀπὸ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ἀχθῇ τις εὐθεῖα γραμμά, τᾶς εὐθείας ταύτας τὰ ἐπὶ τὰ αὐτά, ἐφ' ἅ κα ἁ περιφορὰ γενήται, προαγούμενα καλείσθω, τὰ δὲ ἐπὶ θάτερα ἑπόμενα.

ζ'. ὅ τε γραφεὶς κύκλος κέντρῳ μὲν τῷ σαμείῳ, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ εὐθείᾳ, ἅ ἐστιν πρώτα, πρῶτος καλείσθω, ὁ δὲ γραφεὶς κέντρῳ

3. εαυτο F; corr. BC.* 11. τὸ κατά] τό om. F. Numeros ipse addidi. 23. τὰ ἐπί] scripsi; τά om. F, uulgo. ἐφ' ἅ κα] addidi; om. F, uulgo. προαγούμενα] h. e. προηγούμενα, scripsi; προαγομενα F, uulgo.

locum restituitur, unde moueri coepta est, et dum linea circumagitur, punctum aliquod sibi ipsum aequabiliter in linea fertur a manente termino incipiens, punctum in plano *lineam spiralem* describet.[1])

II. Terminus igitur lineae, qui, dum ipsa circumagitur, manet, *principium spiralis* uocetur.

III. Positio autem lineae, unde circumagi coepta est, *principium circumactionis*.

IV. Ea linea, quam in prima circumactione punctum permeauerit, quod in linea fertur, *prima* uocetur; quam in secunda circumactione idem punctum permeauerit, *secunda*, et ceterae eodem modo circumactionum cognomines sint.

V. Spatium autem spirali in prima circumactione descripta et linea, quae est prima, comprehensum *primum* uocetur; quod spirali in secunda circumactione descripta et linea secunda comprehenditur, *secundum* uocetur, et cetera quoque deinceps eodem modo nominentur.

VI. Et si a puncto, quod principium spiralis est, recta linea ducitur, quae in eadem eius lineae parte sunt, in quam fit circumactio, *praecedentia* uocentur, quae in altera parte sunt, *sequentia*.

VII. Et circulus, cuius centrum est punctum, quod principium spiralis est, radius autem linea, quae est prima, *primus* uocetur, circulus autem, cuius

1) Cfr. Pappus I p. 234 (IV, 30), ubi similiter linea spiralis definitur.

μὲν τῷ αὐτῷ, διαστήματι δὲ τᾷ διπλασίᾳ εὐθείᾳ δεύτερος καλείσθω, καὶ οἱ ἄλλοι δὲ ἑξῆς τούτοις τὸν αὐτὸν τρόπον.

ιβʹ.

Εἴ κα ποτὶ τὰν ἕλικα τὰν ἐν μιᾷ περιφορᾷ ὁποιαοῦν γεγραμμέναν ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος εὐθεῖαι ἐμπεσῶντι ὁποσαιοῦν ἴσας ποιοῦσαι γωνίας ποτ' ἀλλάλας, τῷ ἴσῳ ὑπερέχοντι ἀλλάλαν.

ἔστω ἕλιξ, ἐφ' ἇς αἱ AB, $A\Gamma$, $A\Delta$, AE, AZ ἴσας γωνίας ποιοῦσαι ποτ' ἀλλάλας. δεικτέον, ὅτι τῷ ἴσῳ ὑπερέχει ἁ $A\Gamma$ τᾶς AB, καὶ ἁ $A\Delta$ τᾶς $A\Gamma$, καὶ αἱ ἄλλαι ὁμοίως.

ἐν ᾧ γὰρ χρόνῳ ἁ περιαγομένα γραμμὰ ἀπὸ τᾶς AB ἐπὶ τὰν $A\Gamma$ ἀφικνεῖται, ἐν τούτῳ τῷ χρόνῳ τὸ σαμεῖον τὸ κατὰ τᾶς εὐθείας φερόμενον τὰν ὑπεροχὰν διαπορευέται, ᾇ ὑπερέχει ἁ ΓA τᾶς AB, ἐν ᾧ δὲ χρόνῳ ἀπὸ τᾶς $A\Gamma$ ἐπὶ τὰν $A\Delta$, ἐν τούτῳ διαπορευέται τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ $A\Delta$ τᾶς $A\Gamma$. ἐν ἴσῳ δὲ χρόνῳ ἁ περιαγομένα γραμμὰ ἀπό τε τᾶς AB ἐπὶ τὰν $A\Gamma$ ἀφικνεῖται καὶ ἀπὸ τᾶς $A\Gamma$ ἐπὶ τὰν $A\Delta$, ἐπειδὴ αἱ γωνίαι ἴσαι ἐντί. ἐν ἴσῳ ἄρα χρόνῳ τὸ κατὰ τᾶς εὐθείας φερόμενον σαμεῖον διαπορευέται τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ ΓA τᾶς AB, καὶ τὰν ὑπερ-



1. τᾷ] addidi; om. F, uulgo. 5 ελικαν F. τὰν ἐν] scripsi; ται μεν F; om. Torellius; τὰν μέν ed. Basil., uulgo. 6. γεγραμμενα F; corr. ed. Basil. 8. υπερεχοντι F. 17. τᾶς] ταν F; corr. B. 26. ΓA] $\Gamma\Delta$ F; $A\Gamma$ uulgo.

centrum idem est, radius autem linea duplo maior, secundus uocetur, et ceteri deinceps eodem modo nominentur.

XI.I.

Si ad spiralem qualibet circumactione descriptam a principio spiralis lineae quotlibet ducuntur aequales angulos inter se efficientes, aequali spatio inter se excedunt.

sit spiralis, in qua lineae *AB*, *AΓ*, *AΔ*, *AE*, *AZ* sint [1]) aequales angulos inter se efficientes. demonstrandum, aequali spatio excedi lineam *AB* a linea *AΓ*, lineam *AΓ* a linea *AΔ*, ceterasque eodem modo.

nam quo tempore linea, quae circumagitur, ab *AB* ad *AΓ* peruenit, eo tempore punctum, quod in linea fertur, excessum permeat, quo excedit linea *ΓA* lineam *AB*, et quo tempore ab *AΓ* ad *AΔ* peruenit, eo permeat excessum, quo *AΔ* linea excedit lineam *AΓ*. sed aequali temporis spatio linea, quae circumagitur, ab *AB* ad *AΓ* et ab *AΓ* ad *AΔ* peruenit, quoniam anguli aequales sunt. eodem igitur temporis spatio punctum, quod in linea fertur, excessum permeat, quo linea *ΓA* lineam *AB* excedit, et quo linea

---

1) Fort. scribendum lin. 9: *ἐφ' ἇς* [*τὰ A, B, Γ, Δ,* E, Z, *H. ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ A. καὶ ἀπὸ τοῦ A ἐμπίπτωντι*] *αἱ κτλ.*

αχάν, ᾇ ὑπερέχει ἁ ΑΔ τᾶς ΑΓ. τῷ ἴσῳ ἄρα ὑπερέχει ἅ τε ΑΓ τᾶς ΑΒ, καὶ ἁ ΑΔ τᾶς ΑΓ, καὶ αἱ λοιπαί.

ιγ'.

Εἴ κα εὐθεῖα γραμμὰ τᾶς ἕλικος ἐπιψαύῃ, καθ' ἓν μόνον ἐπιψαύσει σαμεῖον.

ἔστω ἕλιξ, ἐφ' ᾇς τὰ Α, Β, Γ, Δ. ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Α σαμεῖον, ἀρχὰ δὲ τᾶς περιφορᾶς ἁ ΑΔ εὐθεῖα, καὶ ἐπιψαυέτω τᾶς ἕλικος εὐθεῖά τις ἁ ΖΕ. φαμὶ δὴ καθ' ἓν μόνον σαμεῖον ἐπιψαύειν αὐτᾶς.

ἐπιψαυέτω γάρ, εἰ δυνατόν, κατὰ δύο σαμεῖα τὰ Γ, Η, καὶ ἐπεζεύχθωσαν αἱ ΑΓ, ΑΗ, καὶ ἁ γωνία δίχα τετμάσθω ἁ περιεχομένα ὑπὸ τᾶν ΑΗ, ΑΓ. καθ' ὃ δὲ σαμεῖον ἁ δίχα τέμνουσα τὰν γωνίαν τᾷ ἕλικι ποτιπίπτει, ἔστω τὸ Θ. τῷ δὴ ἴσῳ ὑπερέχει ἅ τε ΑΗ τᾶς ΑΘ, καὶ ἁ ΑΘ τᾶς ΑΓ, ἐπειδὴ ἴσας γωνίας περιέχοντι ποτ' ἀλλάλας. ὥστε διπλασίαι ἐντὶ αἱ ΑΗ, ΑΓ τᾶς ΑΘ. ἀλλὰ τᾶς ἐν τῷ τριγώνῳ [τᾶς ΑΘ] δίχα τεμνούσας τὰν γωνίαν μειζόνες ἐντὶ ἢ διπλασίαι. δῆλον οὖν, ὅτι, καθ' ὃ συμπίπτει σαμεῖον τᾷ ΓΗ εὐθείᾳ ἁ ΑΘ, μεταξὺ τῶν Θ, Α ἐντι σαμείων. τέμνει ἄρα ἁ ΕΖ τὰν ἕλικα, ἐπειδή τι τῶν ἐν τᾷ ΓΘΗ σα-



12. ἁ] η F; corr. Torellius, ut lin. 13. 13. τετμησθω F, uulgo. περιεχομενη υπο των (comp.) F; corr. Torellius. 16. την F; corr. Torellius. 20. της ΑΘ F; corr. Torellius. περιεχουσ cum comp. ην F; corr. V A. 22. τᾶς ΑΘ (alterum)] deleo. 23. μειζων F; corr. B.* 24. το σημειον F; τό uncis inclusit ed. Basil.; del. Torellius. 26. ΓΗ D, ed. Basil., Torellius.

$A\Delta$ lineam $A\Gamma$ excedit. quare $A\Gamma$ lineam AB et $A\Delta$ lineam $A\Gamma$ aequali spatio excedunt [prop. 1], et ceterae eodem modo.[1])

XIII.

Si linea recta spiralem contingit, in uno solo puncto continget.

sit spiralis, in qua sint puncta A, B, Γ, Δ. principium autem spiralis sit A punctum, et principium circumactionis linea $A\Delta$, et linea aliqua EZ spiralem contingat. dico igitur, eam in uno solo puncto contingere.

contingat enim, si fieri potest, in duobus punctis Γ, H, et ducantur lineae $A\Gamma$, AH, et in duas partes aequales secetur angulus, qui lineis AH, $A\Gamma$ comprehenditur. et punctum, in quo linea angulum in aequales partes secans in spiralem incidit, sit Θ. quare aequali spatio excedit linea AH lineam $A\Theta$, et linea $A\Theta$ lineam $A\Gamma$, quoniam aequales angulos inter se efficiunt [prop. 12]. quare $AH + A\Gamma = 2 A\Theta$. sed $AH + A\Gamma$ maiores sunt quam duplo maiores linea in triangulo angulum in aequales partes secanti.[2]) adparet igitur, punctum, in quo linea $A\Theta$ in lineam ΓH incidat, inter puncta Θ, A positum esse. quare EZ spiralem secat, quoniam quoddam punctum lineae ΓH intra spiralem est.[3]) at suppositum est,

1) Hanc propositionem citat Pappus I p. 234 (IV, 33).

2) De hac propositione: duo simul latera cuiusuis trianguli maiora esse quam duplo maiora linea, quae angulum ab iis comprehensum in duas partes aequales secet, cfr. Zeitschr. f. Math. hist. Abth. XXIV p. 178 nr. 5, Nizze p. 133, Sturm p. 403.

3) Cfr. Eucl. III, 16 πόρισμα.

μείων ἐντός ἐστι τᾶς ἕλικος. ὑπέκειτο δὲ ἐπιψαύουσα. καθ' ἓν ἄρα μόνον ἁπτέται ἁ EZ τᾶς ἕλικος.

ιδ'.

Εἴ κα ποτὶ τὰν ἕλικα τὰν ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμέναν ποτιπεσῶντι δύο εὐθεῖαι ἀπὸ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, καὶ ἐκβληθέωντι ποτὶ τὰν τοῦ πρώτου κύκλου περιφέρειαν, τὸν αὐτὸν ἑξοῦντι λόγον αἱ ποτὶ τὰν ἕλικα ποτιπιπτούσαι ποτ' ἀλλάλας, ὃν αἱ περιφερείαι τοῦ κύκλου αἱ μεταξὺ τοῦ πέρατος τᾶς ἕλικος καὶ τῶν περάτων τᾶν ἐκβληθεισᾶν εὐθειᾶν τῶν ἐπὶ τᾶς περιφερείας γινομένων, ἐπὶ τὰ προαγούμενα λαμβανομέναν τᾶν περιφερειᾶν ἀπὸ τοῦ πέρατος τᾶς ἕλικος.

ἔστω ἕλιξ ἁ $AB\Gamma\Delta E\Theta$ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἀρχὰ δὲ τᾶς μὲν ἕλικος ἔστω τὸ A σαμεῖον, ἁ δὲ ΘA εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς ἔστω, καὶ κύκλος ὁ ΘKH ἔστω ὁ πρῶτος. ποτιπιπτόντων δὲ ἀπο τοῦ A σαμείου ποτὶ τὰν ἕλικα αἱ AE, $A\Delta$, καὶ ἐκπιπτόντων ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν ἐπὶ τὰ Z, H. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ AE ποτὶ τὰν $A\Delta$, ὃν ἁ ΘKZ περιφέρεια ποτὶ τὰν ΘKH περιφέρειαν.

περιαγομένας γὰρ τᾶς $A\Theta$ γραμμᾶς δῆλον, ὡς τὸ μὲν Θ σαμεῖον κατὰ τᾶς τοῦ ΘKH κύκλου περιφερείας ἐνηνεγμένον ἐστὶν ἰσοταχέως, τὸ δὲ A κατὰ τᾶς εὐθείας φερόμενον τὰν $A\Theta$ γραμμὰν πορευέται, καὶ τὸ Θ σαμεῖον κατὰ τᾶς τοῦ κύκλου περιφερείας φερόμενον τὰν ΘKZ περιφέρειαν, τὸ δὲ A τὰν AE

1. της F; corr. Torellius. 2. EZ] EH F; corr. B mg. 7. την per comp. F; corr. Torellius. 9. ὅν] ὡν F. 20.

eam contingere. itaque in uno solo puncto linea EZ spiralem tangit.

XIV.

Si ad spiralem prima circumactione descriptam duae lineae a puncto, quod principium est spiralis, ducuntur et ad ambitum primi circuli producuntur, lineae ad spiralem ductae eandem inter se rationem habebunt, quam ambitus circuli inter terminum spiralis et terminos linearum productarum, qui in ambitu sunt, positi, si ambitus a termino spiralis ad praecedentia uersus sumuntur.[1])



sit spiralis $AB\Gamma\Delta E\Theta$ prima circumactione descripta, et principium spiralis sit punctum A, et linea ΘA principium circumactionis sit, et circulus ΘKH primus sit. ab A autem puncto ad spiralem ducantur lineae AE, $A\Delta$ et producantur ad ambitum circuli ad Z, H. demonstrandum, esse

$$AE : A\Delta = \Theta KZ : \Theta KH.$$

nam si circumagitur linea $A\Theta$, adparet, punctum Θ in ambitu circuli ΘKH aequabiliter ferri, A autem punctum, dum in linea feratur, lineam $A\Theta$ permeare, et punctum Θ, dum in ambitu circuli feratur, arcum ΘKZ permeare, A autem lineam AE[2]), et rursus punctum

1) Cfr. Pappus I p. 234 (IV, 32).
2) Sc. eodem temporis spatio.

εχωντι F; corr. Torellius. 24. της F; corr. Torelliu , ut lin. 25, 27. 26. κορευέται] scripsi; πεκορευεται F, uulgo.

εὐθεῖαν, καὶ πάλιν τό τε A σαμεῖον τὰν $A\varDelta$ γραμμάν, καὶ τὸ Θ τὰν ΘKH περιφέρειαν, ἑκάτερον ἰσοταχέως αὐτὸ ἑαυτῷ φερόμενον. δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ AE ποτὶ τὰν $A\varDelta$, ὃν ἁ ΘKZ περιφέρεια ποτὶ τὰν ΘKH περιφέρειαν. δεδείκται γὰρ τοῦτο ἐπάνω ἐν τοῖς προτέροις. ὁμοίως δὲ δειχθησέται, καὶ εἴ κα ἁ ἑτέρα τᾶν ποτιπιπτουσᾶν ἐπὶ τὸ πέρας τᾶς ἕλικος ποτιπίπτῃ, ὅτι τὸ αὐτὸ συμβαίνει.

ιε΄.

Εἰ δέ κα ποτὶ τὰν ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμέναν ἕλικα ποτιπίπτωντι εὐθεῖαι ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος, τὸν αὐτὸν ἑξοῦντι λόγον αἱ εὐθεῖαι ποτ' ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφερείαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας λαμβανομένας.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ $AB\Gamma\varDelta\Theta$, ἁ μὲν $AB\Gamma\varDelta\Theta$ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἁ δὲ $\Theta\varLambda EM$ ἐν τᾷ δευτέρᾳ. καὶ ποτιπιπτόντων εὐθεῖαι αἱ AE, $A\varLambda$. δεικτέον, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ $A\varLambda$ ποτὶ τὰν AE, ὃν ἁ ΘKZ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ ΘKH μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας.

ἐν ὅσῳ γὰρ χρόνῳ τὸ A σαμεῖον κατὰ τᾶς εὐθείας φερόμενον τὰν $A\varLambda$ γραμμὰν διαπορευέται, καὶ τὸ Θ σαμεῖον κατὰ τᾶς τοῦ κύκλου περιφερείας φερόμενον ὅλαν τε τὰν τοῦ κύκλου περιφέρειαν καὶ ἔτι τὰν ΘKZ περιφέρειαν διαπορευέται, καὶ πάλιν τὸ A σαμεῖον τὰν AE εὐθεῖαν, καὶ τὸ Θ ὅλαν τε τὰν τοῦ κύκλου περιφέρειαν καὶ ἔτι τὰν ΘKH, ἑκάτερον ἰσοταχέως

4. εχωντι F. 6. ἐπάνω] scripsi; εξω F, uulgo. προτέροις] scripsi; πρωτοις F, uulgo. 8. ὅτι] addidi; om. F,

Α lineam *ΑΔ* et *Θ* arcum *ΘΚΗ*, utrumque aequabiliter sibi ipsum. adparet igitur, esse

$$AE : A\Delta = \Theta KZ : \Theta KH.$$

hoc enim supra in prioribus demonstratum est [prop. 2]. et eodem modo demonstrabimus, etiam si altera linearum ad spiralem ductarum in terminum spiralis inciderit, idem futurum esse.

XV.

Sin ad spiralem secunda circumactione descriptam a principio spiralis lineae ducuntur, eandem rationem inter se habebunt, quam arcus, quos commemorauimus [prop. 14], adsumpto toto circuli ambitu.

sit spiralis, in qua sit linea *ΑΒΓΔΘ*, ita ut *ΑΒΓΔΘ* prima, *ΘΛΕΜ* secunda circumactione descripta sit. et ducantur ad spiralem lineae *ΑΕ*, *ΑΛ*. demonstrandum, habere lineam *ΑΛ* ad lineam *ΑΕ* eandem rationem, quam arcus *ΘΚΖ* adsumpto toto circuli ambitu ad *ΘΚΗ* adsumpto toto circuli ambitu.

nam quo tempore[1]) punctum *Α*, quod in linea fertur, lineam *ΑΛ* permeat, etiam punctum *Θ*, quod in ambitu circuli fertur, et totum circuli ambitum et praeterea arcum *ΘΚΖ* permeat, et rursus [quo tempore] punctum *Α* lineam *ΑΕ* permeat, etiam punctum *Θ* totum ambitum circuli et praeterea arcum *ΘΚΗ*,

1) Ut foeda uitetur anacoluthia (lin. 26 sq.), fortasse praestat lin. 22: ἐν ἴσῳ γάρ.

uulgo. 14. ἅπαξ λαμβανομένας? 15. *ΑΒΓΔΘΕΛΜ* Torellius. 17. ποτιπιπτωντι F; corr. B. 18. εχωντι F; corr. Torellius. 20. ποτί] προς per comp. F; corr. Torellius. 23. καὶ τὸ Θ] κατα το Ε F; corr. Torellius.

αὐτὸ αὑτῷ φερόμενον. δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον ἁ ΑΛ γραμμὰ ποτὶ τὰν ΑΕ, ὃν ἁ ΘΚΖ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν ΘΚΗ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας.

τὸν αὐτὸν δὲ τρόπον δειχθησέται, καὶ εἴ κα ποτὶ τὰν ἐν τᾷ τρίτᾳ περιφορᾷ γεγραμμέναν ἕλικα ποτιπεσῶντι εὐθείαι, ὅτι τὸν αὐτὸν λόγον ἑξοῦντι ποτ' ἀλλάλας, ὃν αἱ εἰρημέναι περιφερείαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας δὶς λαμβανομένας. ὁμοίως δὲ καὶ αἱ ποτὶ τὰς ἄλλας ἑλίκας ποτιπιπτούσαι δεικνύνται, ὅτι τὸν αὐτὸν ἔχοντι λόγον, ὃν αἱ εἰρημέναι περιφερείαι μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας τοσαυτάκις λαμβανομένας, ὅσος ἐστὶν ὁ ἑνὶ ἐλάσσων ἀριθμὸς τᾶν περιφορᾶν, καὶ εἴ κα ἁ ποτιπίπτουσα ἁ ἑκατέρα ποτὶ τὸ πέρας τᾶς ἕλικος πίπτῃ.

ιϛ'.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ, καὶ ἀπὸ τᾶς ἁφᾶς εὐθεῖα γραμμὰ ἐπιζευχθῇ ἐπὶ τὸ σαμεῖον, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ἃς ποιεῖ γωνίας ἁ ἐφαπτομένα ποτὶ τὰν ἐπιζευχθεῖσαν, ἀνίσοι ἐσσούνται, καὶ ἁ μὲν ἐν τοῖς προαγουμένοις ἀμβλεῖα, ἁ δὲ ἐν τοῖς ἑπομένοις ὀξεῖα.

ἔστω ἕλιξ, ἐφ' ἇς τὰ Α, Β, Γ, Δ, Θ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα. καὶ ἔστω τὸ μὲν Α σαμεῖον

---

2. εχωντι F; corr. Torellius. γραμμαν F. 8. ὅτι] om. F; corr. Nizzius. 12. εχωντι F; corr. Torellius. ἁ ειρημενα περιφερεια F; corr. Torellius. 14. τοσαυτας F; corr. Torellius. ἑνί] ἐν F; corr. B; om. ed. Basil.; „uno minorem" Cr. 18. τη πρωτη F; corr. Torellius. 22. εσουνται F, uulgo. 23. προαγομενοις F, uulgo.

utrumque sibi ipsum aequabiliter, permeat. adparet igitur, eandem habere rationem $A\Lambda : AE$, quam arcus ΘKZ cum toto ambitu circuli ad arcum ΘKH cum toto ambitu circuli [prop. 2].



et eodem modo demonstrabimus, etiam si ad spiralem tertia circumuolutione descriptam lineae ducantur, eas eandem inter se rationem habituras esse, quam arcus, quos significauimus, cum toto ambitu circuli bis sumpto. et eodem modo etiam lineae ad ceteras spirales ductae eandem rationem habere demonstrabuntur, quam arcus, quos significauimus, cum toto ambitu circuli toties sumpto, quoties indicat numerus uno minor [numero] circumactionum, etiam si altera linearum ductarum in terminum spiralis incidat.

XVI.

Si spiralem prima circumactione descriptam linea recta contingit, et a puncto tactionis ad punctum, quod principium spiralis est, linea recta ducitur, anguli, quos linea contingens cum linea ad eam ducta efficit, inaequales erunt, et angulus, qui in praecedentibus est, obtusus erit, angulus autem, qui in sequentibus est, acutus.

sit spiralis, in qua sint puncta A, B, Γ, Δ, Θ, prima circumactione descripta. et sit punctum A principium

ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ $A\Theta$ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς, ὅ τε πρῶτος κύκλος ὁ ΘKH. ἐπιψαυέτω δέ τις εὐθεῖα γραμμὰ τᾶς ἕλικος ἁ $E\Delta Z$ κατὰ τὸ Δ, καὶ ἀπὸ τοῦ Δ ἐπὶ τὸ A ἐπεζεύχθω ἁ ΔA. δεικτέον, ὅτι ἁ ΔZ ποτὶ τὰν $A\Delta$ ἀμβλεῖαν ποιεῖ γωνίαν.

γεγράφθω κύκλος ὁ ΔTN κέντρῳ μὲν τῷ A, διαστήματι δὲ τῷ $A\Delta$. ἀναγκαῖον δὴ τούτου τοῦ κύκλου τὰν μὲν ἐν τοῖς προαγουμένοις περιφέρειαν ἐντὸς πίπτειν τᾶς ἕλικος, τὰν δὲ ἐν τοῖς ἑπομένοις ἐκτὸς διὰ τὸ τᾶν ἀπὸ τοῦ A ποτὶ τὰν ἕλικα ποτιπιπτουσᾶν εὐθειᾶν τὰς μὲν ἐν τοῖς προαγουμένοις μειζόνας εἶμεν τᾶς $A\Delta$, τὰς δὲ ἐν τοῖς ἑπομένοις ἐλασσόνας. ὅτι μὲν οὖν ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν $A\Delta$, ΔZ οὐκ ἔστιν ὀξεῖα, δῆλον, ἐπειδὴ μείζων ἐστὶ τᾶς τοῦ ἡμικυκλίου. ὅτι δὲ ὀρθὰ οὐκ ἔστι, δεικτέον οὕτως· ἔστω γάρ, εἰ δυνατόν, ὀρθά. ἁ ἄρα $E\Delta Z$ ἐπιψαύει τοῦ ΔTN κύκλου. δυνατὸν δή ἐστιν ἀπὸ τοῦ A ποτιβαλεῖν εὐθεῖαν ποτὶ τὰν ἐπιψαύουσαν, ὥστε τὰν μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς τοῦ κύκλου περιφερείας εὐθεῖαν ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ κύκλου ἐλάσσονα λόγον ἔχειν τοῦ, ὃν ἔχει ἁ μεταξὺ



2. πρωτος οσ F. 3. ΔEZ F, uulgo. 7. τῷ] τᾷ Torellius. 10. τάν] τα F; corr. BC.* προαγομενοις F,

spiralis, linea autem $A\Theta$ principium circumactionis, et primus circulus ΘKH. contingat autem linea recta $E\Delta Z$ spiralem in puncto Δ, et a puncto Δ ad A ducatur linea ΔA. demonstrandum, lineam ΔZ cum linea $A\Delta$ obtusum angulum efficere.

describatur circulus ΔTN, cuius centrum sit A, radius autem $A\Delta$. itaque necesse est, huius circuli ambitum, qui in praecedentibus est, intra spiralem cadere, qui in sequentibus est, extra, quia linearum ab A ad spiralem ductarum quae in praecedentibus sunt, maiores sunt linea $A\Delta$, quae in sequentibus sunt, minores. angulum igitur lineis $A\Delta$, ΔZ comprehensum acutum non esse, adparet, cum maior sit angulo semicirculi.[1]) rectum uero eum non esse, ita demonstrandum est: sit enim, si fieri potest, rectus. itaque linea $E\Delta Z$ circulum ΔTN contingit [Eucl. III, 16 πόρισμα]. fieri igitur potest, ut ab A linea ad lineam contingentem ducatur, ita ut linea inter contingentem et ambitum circuli posita ad radium circuli minorem rationem habeat, quam habet arcus inter punctum tactionis et lineam ad contingentem

1) H. e. angulo inter lineam $A\Delta$ et arcum ΔPT comprehenso, qui maior est quolibet acuto angulo rectilineo (Eucl. III, 16); quare cum hic angulus pars sit anguli $A\Delta Z$, adparet, hunc acutum certe non esse (Eucl. I κοιν. ἐνν. 9).

uulgo. 18. ευχθειαν F. 22. των $A\Delta Z$ F, uulgo. 23. ορθη F; corr. Torellius. 24. οὕτως] per compendium paulo insolentius scriptum F; ὅν B, ed. Basil., Torellius. ορθη. ἐ. F; corr. Torellius. 26. ἀπό] ἀ F.

τᾶς ἀφᾶς καὶ τᾶς ποτιπιπτούσας περιφέρεια ποτὶ τὰν δοθεῖσαν περιφέρειαν. ποτιπιπτέτω δὴ ἁ ΑΙ. τεμεῖ δὴ αὐτὰ τὰν μὲν ἕλικα κατὰ τὸ Λ, τὰν δὲ τοῦ ΔΝΤ περιφέρειαν κύκλου κατὰ τὸ Ρ. καὶ ἐχέτω ἁ ΡΙ εὐθεῖα ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον τοῦ, ὃν ἔχει ἁ ΔΡ περιφέρεια ποτὶ τὰν ΔΝΤ περιφέρειαν. καὶ ὅλα ἄρα ἁ ΙΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει, ἢ ἁ ΡΔΝΤ περιφέρεια ποτὶ τὰν ΔΝΤ περιφέρειαν, τουτέστιν ὃν ἔχει ἁ ΣΗΚΘ περιφέρεια ποτὶ τὰν ΗΚΘ περιφέρειαν. ὃν δὲ ἁ ΣΗΚΘ περιφέρεια ποτὶ τὰν ΗΚΘ περιφέρειαν, τοῦτον ἔχει ἁ ΑΛ εὐθεῖα ποτὶ τὰν ΑΔ. δεδείκται γὰρ τοῦτο. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΑΙ ποτὶ τὰν ΑΡ, ἤπερ ἁ ΛΑ ποτὶ τὰν ΑΔ· ὅπερ ἀδύνατον. ἴσα γὰρ ἁ ΡΑ τᾷ ΑΔ. οὐκ ἄρα ἐστὶν ὀρθὰ ἁ περιεχομένα ὑπὸ τᾶν ΑΔ, ΔΖ. δεδείκται δέ, ὅτι οὐδὲ ὀξεῖα. ἀμβλεῖα ἄρα ἐστίν. ὥστε ἁ λοιπὰ ὀξεῖά ἐστιν. ὁμοίως δὲ δειχθησέται, καὶ εἴ κα ἁ ἐπιψαύουσα τᾶς ἕλικος κατὰ τὸ πέρας ἐπιψαύῃ, ὅτι τὸ αὐτὸ συμβησέται.

ιζ'.

Καὶ τοίνυν εἴ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ ἁ εὐθεῖα, τὸ αὐτὸ συμβησέται.

ἐπιψαυέτω γὰρ ἁ ΕΖ εὐθεῖα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος κατὰ τὸ Δ, καὶ τὰ ἄλλα τὰ αὐτὰ τοῖς πρότερον κατεσκευάσθω. ὁμοίως δὴ τᾶς τοῦ ΡΝΔ περιφερείας κύκλου τὰ μὲν ἐν τοῖς προαγου-

1. περιφέρεια] scripsi; περιφερειας F, uulgo. 6. ΔΤΝ Torellius. 9. ΗΚΘ] Η supra scriptum manu 2 F. 14. ΑΔ] ΛΔ, μείζων δὲ ἁ ΙΑ τᾶς ΛΑ Commandinus, Torellius, Nizzius. ορθη F; corr. Torellius, ut p. 68 lin. 3, 4. 15.

ductam positus ad datum arcum [prop. 5]. ducatur igitur ad lineam contingentem linea AI. ea igitur spiralem in puncto A, ambitum autem circuli ΔNT[1]) in puncto P secabit. et sit $PI : AP < \Delta P : \Delta NT$. quare etiam $IA : AP < P\Delta NT : \Delta NT$[2]), h. e. $< \Sigma HK\Theta : HK\Theta$.[3]) sed $\Sigma HK\Theta : HK\Theta = AA : A\Delta$. hoc enim demonstratum est [prop. 14]. itaque

$$AI : AP < AA : A\Delta;$$

quod fieri non potest. nam $PA = A\Delta$ [et $IA > AA$] [Eucl. V, 8]. itaque angulus lineis $A\Delta$, ΔZ comprehensus rectus non est. et demonstratum est, ne acutum quidem eum esse. itaque obtusus est. quare reliquus angulus acutus est. et eodem modo demonstrabitur, etiam si linea spiralem contingens in termino contingat, idem futurum esse.

XVII.

Iam etiam si spiralem secunda circumactione descriptam linea contingit, idem futurum est.

contingat enim linea EZ spiralem secunda circumactione descriptam in puncto Δ, et cetera eodem modo, quo supra [prop. 16], comparentur. itaque, ut supra, ea pars ambitus circuli $PN\Delta$, quae in praecedentibus

1) Mirus uerborum ordo lin. 3—4 defenditur simili loco lin. 27.

2) Sc. συνθέντι; Pappus VII, 46 p. 686.

3) Nam

$$P\Delta NT : \Delta NT = \angle PAT \ (> 180^0) : \Delta AT \ (> 180^0)$$
$$= \Sigma HK\Theta : HK\Theta \text{ (Eucl. VI, 33).}$$

των per comp. F; corr. Torellius. $A\Delta Z$ F, uulgo. δέ] om. F; corr. AB. 18. ὅτι] addidi; om. F, uulgo. 24. EZ] AZ F. 25. περιφορᾷ] scripsi; περιφορας F, uulgo.

μένοις τᾶς ἕλικος ἐντὸς πεσοῦνται, τὰ δὲ ἐν τοῖς ἑπομένοις ἐκτός. ἁ οὖν γωνία ἁ ὑπὸ τᾶν ΑΔ, ΔΖ οὐκ ἔστιν ὀρθά, ἀλλὰ ἀμβλεῖα. ἔστω γάρ, εἰ δυνατόν, ὀρθά. ἐπιψαύσει δὴ ἁ ΕΖ τοῦ ΡΝΔ κύκλου κατὰ τὸ Δ. ἄχθω δὴ πάλιν ποτὶ τὰν ἐπιψαύουσαν ἁ ΑΙ, καὶ τεμνέτω τὰν μὲν ἕλικα κατὰ τὸ Χ, τὰν δὲ τοῦ ΡΝΔ κύκλου περιφέρειαν κατὰ τὸ Ρ. ἐχέτω δὲ ἁ ΡΙ ποτὶ ΡΑ ἐλάσσονα λόγον τοῦ, ὃν ἔχει ἁ ΔΡ περιφέρεια ποτὶ ὅλαν



τὰν τοῦ ΔΡΝ κύκλου περιφέρειαν καὶ [ποτὶ] τὰν ΔΝΤ. δεδείκται γὰρ τοῦτο δυνατὸν ἐόν. καὶ ὅλα ἄρα ἁ ΙΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει, ἢ ἁ ΡΔΝΤ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν ΔΝΤ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας. ἀλλ' ὃν ἔχει λόγον ἁ ΡΔΝΤ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ ΔΝΤΡ κύκλου περιφερείας ποτὶ τὰν ΔΝΤ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ ΔΝΤΡ κύκλου περιφερείας, τοῦτον ἔχει τὸν λόγον ἁ ΣΗΚΘ περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας τᾶς ΘΣΗΚ ποτὶ τὰν ΗΚΘ περιφέρειαν μεθ' ὅλας τᾶς τοῦ ΘΣΗΚ κύκλου περιφερείας. ὃν δὲ λόγον ἔχοντι αἱ ὕστερον εἰρημέναι περιφερείαι,

2. ΑΔΖ F, uulgo. 6. τάν] τα F. 13. ποτί] προς per comp. F; corr. Torellius. 17. ποτί] deleo. In figura pro

est, intra spiralem cadet, quae in sequentibus est, extra. angulus igitur lineis $A\Delta$, ΔZ comprehensus rectus non est, sed obtusus. sit enim, si fieri potest, rectus. continget igitur linea EZ circulum $PN\Delta$ in puncto Δ [Eucl. III, 16 πόρισμα]. rursus igitur ad lineam contingentem ducatur linea AI, et spiralem in puncto X, ambitum autem circuli $PN\Delta$ in puncto P secet. et sit $PI : PA < \Delta P : \Delta PN$[1]) $+ \Delta NT$. nam demonstratum est, hoc fieri posse [prop. 5]. quare erit [p. 67 not. 2] $IA : AP < P\Delta NT + \Delta PN : \Delta NT + \Delta PN$. est autem

$$P\Delta NT + \Delta NTP^{2)} : \Delta NT + \Delta NTP$$
$$= \Sigma HK\Theta + \Theta\Sigma HK^{3)} : HK\Theta + \Theta\Sigma HK = XA : A\Delta.$$

1) Significaui hoc modo ambitum totum circuli ΔPN, ut rursus h. pag. lin. 10 bis.

2) Per ΔNTP hoc loco idem significatur, quod supra per ΔPN (u. not. 1).

3) H. e. totus ambitus circuli $\Theta\Sigma HK$. proportio autem hoc modo sequitur: sit $P\Delta NT = P_1$, $\Delta NTP = C$, $\Delta NT = P$, $\Sigma HK\Theta = p_1$, $\Theta\Sigma HK = c$, $HK\Theta = p$. erit igitur $P_1 : p_1 = C : c$ (Eucl. VI, 33 πόρ.; Zeitschr. f. Math., hist. Abth. XXIV p. 181 nr. 14); quare $P_1 + C : p_1 + c = P_1 : p_1$; praeterea $P : p = C : c$ et $P + C : p + c = P : p$; sed $P_1 : p_1 = P : p$ [p. 67 not. 3). itaque $P_1 + C : p_1 + c = P + C : p + c$, et ἐναλλάξ $P_1 + C : P + C = p_1 + c : p + c$, q. e. d.

Θ in F est O. 26. περιφερειαν F. 29. εχουσιν F; corr. Torellius.

τοῦτον ἔχει τὸν λόγον ἁ *ΧΑ* εὐθεῖα ποτὶ τὰν *ΑΔ* εὐθεῖαν. δεδείκται γὰρ τοῦτο. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ *ΙΑ* ποτὶ τὰν *ΑΡ*, ἢ ἁ *ΑΧ* ποτὶ τὰν *ΑΔ*· ὅπερ ἀδύνατον. ἴσα μὲν γὰρ ἁ *ΡΑ* τᾷ *ΑΔ*, μείζων δὲ ἁ *ΙΑ* τᾶς *ΑΧ*. δῆλον οὖν, ὅτι ἀμβλεῖά ἐστιν ἁ περιεχομένα ὑπὸ τᾶν *ΑΔ*, *ΔΖ*. ὥστε ἁ λοιπὰ ὀξεῖά ἐστι. τὰ δ' αὐτὰ συμβησέται, καὶ εἴ κα ἁ ἐπιψαύουσα κατὰ τὸ πέρας τᾶς ἕλικος ἐπιψαύῃ.

ΠΟΡΙΣΜΑ.

Ὁμοίως δὲ δειχθησέται, καὶ εἴ κα τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ τις εὐθεῖα, καὶ εἴ κα κατὰ τὸ πέρας αὐτᾶς, ὅτι ἀνίσους ποιήσει [τὰς] γωνίας ποτὶ τὰν ἀπὸ τᾶς ἁφᾶς ἐπιζευχθεῖσαν ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος, καὶ τὰν μὲν ἐν τοῖς προαγουμένοις ἀμβλεῖαν, τὰν δὲ ἐν τοῖς ἑπομένοις ὀξεῖαν.

ιη'.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ κατὰ τὸ πέρας τᾶς ἕλικος, ἀπὸ δὲ τοῦ σαμείου, ὅ ἐστιν ἀρχὰ τᾶς ἕλικος, ποτ' ὀρθὰς ἀχθῇ τις τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, ἁ ἀχθεῖσα συμπεσεῖται τᾷ ἐπιψαυούσᾳ, καὶ ἁ μεταξὺ εὐθεῖα τᾶς ἐπιψαυούσας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα ἐσσεῖται τᾷ τοῦ πρώτου κύκλου περιφερείᾳ.

ἔστω ἕλιξ ἁ *ΑΒΓΔΘ*, ἔστω δὲ τὸ *Α* σαμεῖον ἀρχὰ

---

3. ἁ] (alt.) om. F; corr. Torellius. 4. ισῃ F; corr. Torellius. ἁ] (bis) η F; corr. Torellius, ut lin. 5, 6. τᾷ] τῃ F; corr. Torellius. 5. τᾶς] της F; corr. Torellius. περιεχομενη F; corr. Torellius. 6. *ΑΔΖ* F, uulgo. λοιπη F; corr. Torellius. 11. περιφορᾷ] addidi; om. F, uulgo; „quacunque reuolutione“ Cr. 12. τάς] deleo. 21. συνπεσειται F. ἁ] om. F.

hoc enim demonstratum est [prop. 15]. quare erit $I A : A P < A X : A \Delta$; quod fieri non potest. [nam $P A = A \Delta$, et $I A > A X$].[1]) adparet igitur, angulum lineis $A \Delta$, ΔZ comprehensum obtusum esse,[2]) quare reliquus angulus acutus est. eadem autem euenient, etiam si linea contingens in termino spiralis contigerit.

COROLLARIUM.

Eodem autem modo demonstrabimus, etiam si spiralem qualibet circumactione descriptam linea aliqua contingat, etiam si in termino eius, inaequales eam angulos effecturam esse cum linea a puncto tactionis ad principium spiralis ducta, et angulum in praecedentibus positum obtusum fore, qui in sequentibus positus sit, acutum.[3])

XVIII.

Si spiralem prima circumactione descriptam linea recta contigerit in termino spiralis, et a puncto, quod principium est spiralis, linea ad principium circumactionis perpendicularis ducta erit, linea [ita] ducta in contingentem incurret, et linea inter contingentem et principium spiralis posita aequalis erit ambitui circuli primi.

sit spiralis $AB\Gamma\Delta\Theta$, et punctum A principium

---

1) Putauerim, uerba ἴσα μέν lin. 4 — τᾶς AX lin. 5 subditiua esse, cum quia formae uulgares in cod. F hoc loco constanter traditae sunt, tum quod Archimedes, si causam plene adferre uoluisset, hoc sine dubio non hoc loco, sed supra p. 66, 14, ubi leuis tantum significatio additur, fecisset.

2) Nam ne acutus quidem est; u. p. 65 not. 1.

3) Cfr. prop. 15 corollarium.

τᾶς ἕλικος, ἁ δὲ ΘΑ γραμμὰ ἀρχὰ τᾶς περιφορᾶς, ὁ δὲ ΘΗΚ κύκλος ὁ πρῶτος. ἐπιψαυέτω δέ τις τᾶς ἕλικος κατὰ τὸ Θ, ἁ ΘΖ, καὶ ἀπὸ τοῦ Α ἄχθω ποτ' ὀρθὰς τᾷ ΘΑ ἁ ΑΖ. συμπεσεῖται δὴ αὐτὰ ποτὶ τὰν ΘΖ, ἐπεὶ αἱ ΖΘ, ΘΑ ὀξεῖαν γωνίαν περιέχοντι. συμπιπτέτω κατὰ τὸ Ζ. δεικτέον, ὅτι ἁ ΖΑ ἴσα ἐστὶ τᾷ τοῦ ΘΚΗ κύκλου περιφερείᾳ.

εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω πρότερον, εἰ δυνατόν, μείζων. ἔλαβον δή τινα εὐθεῖαν τὰν ΛΑ τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσονα, τᾶς δὲ τοῦ



ΘΗΚ κύκλου περιφερείας μείζονα. ἔστιν δὴ κύκλος τις ὁ ΘΗΚ, καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρου ἁ ΘΗ, καὶ λόγος, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΛ, μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΗΘ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν, διότι καὶ τοῦ, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΖ. δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν ποτὶ τὰν ἐκβεβλημέναν τὰν ΑΝ, ὥστε τὰν μεταξὺ τᾶς περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΝΡ ποτὶ ΘΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΘΑ ποτὶ τὰν ΑΛ. ἕξει οὖν ἁ ΝΡ ποτὶ τὰν ΡΑ λόγον, ὃν ἁ ΘΡ εὐθεῖα ποτὶ τὰν ΑΛ. ἁ δὲ ΘΡ ποτὶ τὰν ΑΛ ἐλάσσονα λόγον ἔχει, ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ

---

3. ποτ'] προς per comp. F; corr. V. 5. περιεχουσιν F;

spiralis sit, linea autem ΘA principium circumactionis, circulus autem ΘHK primus. contingat autem [linea] aliqua ΘZ spiralem in puncto Θ, et a puncto A ad lineam ΘA perpendicularis ducatur linea AZ. ea igitur in lineam ΘZ incurret, quoniam lineae $Z\Theta$, ΘA acutum angulum comprehendunt [prop. 16; tum u. Eucl. I *αἰτ.* 5]. incidat in eam in puncto Z. demonstrandum, lineam ZA aequalem esse ambitui circuli ΘKH.

nam si aequalis non est, aut maior est aut minor. sit prius, si fieri potest, maior. sumpsi igitur lineam aliquam $A\Lambda$ minorem linea ZA, maiorem autem ambitu circuli ΘHK [prop. 4]. itaque datus est circulus quidam ΘHK, et in circulo linea ΘH minor diametro[1]), et ratio $\Theta A : A\Lambda$ maior ea, quam habet dimidia linea $H\Theta$ ad lineam a puncto A ad eam perpendicularem ductam, quia ea quoque minor est, quam habet

$$\Theta A : AZ.^{2)}$$

fieri igitur potest, ut ab A ad lineam productam AN linea ducatur, ita ut sit $NP : \Theta P = \Theta A : A\Lambda$ [prop. 7]. erit igitur $NP : PA = \Theta P : A\Lambda$.[3]) sed linea ΘP ad $A\Lambda$ minorem rationem habet, quam arcus ΘP ad amb-

---

1) Nam ΘZ, spiralem contingens, extra eam cadet, nec per punctum A transire potest; tum u. Eucl. III, 7.

2) Nam $A\Lambda > ZA$ (tum u. Eucl. V, 8). Et si ducitur linea ab A ad $H\Theta$ perpendicularis, eam in duas partes aequales secabit (Eucl. III, 3), et efficietur triangulus similis triangulo $A\Theta Z$ (Eucl. VI, 8); tum u. Eucl. VI, 4.

3) Nam *ἐναλλάξ*: $NP : \Theta A = \Theta P : A\Lambda$, et $\Theta A = PA$.

---

corr. Torellius. 13. *ποτί*] *προς* per comp. F; corr. V (? u. Torellius p. 236 e), ut lin. 16. 17. *τάν*] (prius) *ταν ταν* F; corr. D. 19. *ποτὶ τὰν ΘΡ εὐθεῖαν* dubitans Nizzius.

ΘΗΚ κύκλου περιφέρειαν. ἁ μὲν γὰρ *ΘΡ* εὐθεῖα ἐλάσσων ἐστὶ τᾶς *ΘΡ* περιφερείας, ἁ δὲ *ΑΛ* εὐθεῖα τᾶς τοῦ *ΘΗΚ* κύκλου περιφερείας μείζων. ἐλάσσονα οὖν λόγον ἕξει καὶ ἁ *ΝΡ* ποτὶ *ΡΑ*, ἢ ἁ *ΘΡ* περιφέρεια ποτὶ τὰν τοῦ *ΘΗΚ* κύκλου περιφέρειαν. καὶ ὅλα οὖν ἁ *ΝΑ* ποτὶ τὰν *ΑΡ* ἐλάσσονα λόγον ἔχει, ἤπερ ἁ *ΘΡ* περιφέρεια μεθ' ὅλας τᾶς τοῦ κύκλου περιφερείας ποτὶ τὰν τοῦ *ΘΗΚ* κύκλου περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ *ΘΡ* περιφέρεια μεθ' ὅλας τᾶς τοῦ *ΘΗΚ* κύκλου περιφερείας ποτὶ τὰν τοῦ *ΘΗΚ* κύκλου περιφέρειαν, τοῦτον ἔχει ἁ *ΧΑ* ποτὶ τὰν *ΑΘ*. δεδείκται γὰρ τοῦτο. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ *ΝΑ* ποτὶ τὰν *ΑΡ*, ἤπερ ἁ *ΧΑ* ποτὶ τὰν *ΑΘ*· ὅπερ ἀδύνατον. ἁ μὲν γὰρ *ΝΑ* μείζων ἐστὶ τᾶς *ΑΧ*, ἁ δὲ *ΑΡ* ἴσα ἐστὶ τᾷ *ΘΑ*. οὐκ ἄρα μείζων ἁ *ΖΑ* τᾶς τοῦ κύκλου περιφερείας τοῦ *ΘΗΚ*.

ἔστω δὴ πάλιν, εἰ δυνατόν, ἐλάσσων ἁ *ΖΑ* τᾶς τοῦ *ΘΗΚ* κύκλου περιφερείας. ἔλαβον δή τινα εὐθεῖαν πάλιν τὰν *ΑΛ* τᾶς μὲν *ΑΖ* μείζονα, τᾶς δὲ τοῦ *ΘΗΚ* κύκλου περιφερείας ἐλάσσονα, καὶ ἄγω ἀπὸ τοῦ *Θ* τὰν *ΘΜ* παράλληλον τᾷ *ΑΖ*. πάλιν οὖν κύκλος ἐστὶν ὁ *ΘΗΚ*, καὶ ἐν αὐτῷ ἐλάσσων γραμμὰ τᾶς διαμέτρου ἁ *ΘΗ*, καὶ ἄλλα ἐπιψαύουσα τοῦ κύκλου κατὰ τὸ *Θ*, καὶ λόγος, ὃν ἔχει ἁ *ΑΘ* ποτὶ τὰν *ΑΛ*, ἐλάσσων

---

1. *ΘΗΚ*] *ΘΗ* F; corr. Torellius. 4. ποτί] προς per comp. F; corr. V(?). 11. τὰν *ΑΘ*] Torellius; τον (comp.) *ΑΘ* F, uulgo. 12. ἄρα] om. F; corr. AB. 17. ιθ' F; om. uulgo, sed infra pro prop. 19 in Cr. est prop. 20, et sic deinceps. 19. την F; corr. Torellius.

itum circuli ΘHK. nam linea ΘP minor est arcu ΘP, et linea $A\Lambda$ maior ambitu circuli ΘHK [ex hypothesi]. quare etiam linea NP ad PA minorem rationem habebit, quam arcus ΘP ad ambitum circuli ΘHK. itaque etiam tota linea NA ad lineam AP minorem rationem habet, quam arcus ΘP cum toto ambitu circuli ad ambitum circuli ΘHK.[1]) sed quam rationem habet arcus ΘP cum toto ambitu circuli ΘHK ad ambitum circuli ΘHK, eam habet $XA : A\Theta$. hoc enim demonstratum est [prop. 15]. quare erit $NA : AP < XA : A\Theta$; quod fieri non potest. nam $NA > AX$, et $AP = \Theta A$. quare linea ZA maior non erit ambitu circuli ΘHK.

rursus, si fieri potest, linea ZA minor sit ambitu circuli ΘHK. sumpsi igitur rursus lineam quandam $A\Lambda$ linea AZ maiorem, ambitu autem circuli ΘHK



minorem [prop. 4], et a puncto Θ lineae AZ parallelam duco lineam ΘM. rursus igitur datus est circulus ΘHK, et in eo linea diametro minor ΘH [p. 73 not. 1], et alia linea [ΘM] circulum in puncto Θ contingens [Eucl. III, 16 πόρ.], et ratio $A\Theta : A\Lambda$ minor ea, quam

1) Sc. συνθέντι; u. p. 67 not. 2.

τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΗΘ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν, ἐπειδὴ καὶ τοῦ, ὃν ἔχει ἁ ΘΑ ποτὶ ΑΖ, ἐλάσσων ἐστί. δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ἀγαγεῖν τὰν ΑΠ ποτὶ τὰν ἐπιψαύουσαν, ὥστε τὰν ΡΝ τὰν μεταξὺ τᾶς ἐν τῷ κύκλῳ εὐθείας καὶ τᾶς περιφερείας ποτὶ τὰν ΘΠ ἀπολαφθεῖσαν ἀπὸ τᾶς ἐπιψαυούσας τοῦτον ἔχειν τὸν λόγον, ὃν ἔχει ἁ ΘΑ ποτὶ τὰν ΑΛ. τεμεῖ δὴ ἁ ΑΠ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ ἕλικα κατὰ τὸ Χ. καὶ ἕξει καὶ ἐναλλὰξ τὸν αὐτὸν λόγον ἁ ΝΡ ποτὶ ΡΑ, ὃν ἁ ΘΠ ποτὶ ΑΛ. ἁ δὲ ΘΠ ποτὶ τὰν ΑΛ μείζονα λόγον ἔχει, ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν. ἁ μὲν γὰρ ΘΠ εὐθεῖα μείζων ἐστὶ τᾶς ΘΡ περιφερείας, ἁ δὲ ΑΛ ἐλάσσων τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας. μείζονα ἄρα λόγον ἔχει ἁ ΝΡ ποτὶ τὰν ΑΡ, ἢ ἁ ΘΡ περιφέρεια ποτὶ τὰν τοῦ ΘΗΚ κύκλου περιφέρειαν. ὥστε καὶ ἁ ΡΑ ποτὶ τὰν ΑΝ μείζονα λόγον ἔχει, ἢ ἁ τοῦ ΘΗΚ κύκλου περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ τοῦ ΘΗΚ κύκλου περιφέρεια ποτὶ τὰν ΘΚΡ περιφέρειαν, τοῦτον ἔχει ἁ ΘΑ εὐθεῖα ποτὶ τὰν ΑΧ. δεδείκται γὰρ τοῦτο. μείζονα ἄρα λόγον ἔχει ἁ ΡΑ ποτὶ τὰν ΑΝ, ἢ ἁ ΘΑ ποτὶ τὰν ΑΧ· ὅπερ ἀδύνατον. οὐκ ἄρα μείζων ἐστὶν οὐδὲ ἐλάσσων ἁ ΖΑ τᾶς τοῦ ΘΗΚ κύκλου περιφερείας· ἴσα ἄρα.

---

3. *ποτί*] *προς* per comp. F; corr. V (?), ut lin. 10, 11 (prius). 18. *ΘΗΚ*] *ΘΝΚ* F; corr. manus 2. 25. *ιση* F; corr. Torellius.

habet dimidia linea $H\Theta$ ad lineam a puncto $\varDelta$ ad eam perpendicularem ductam, quoniam minor est ea, quam habet $\Theta\varDelta : \varDelta Z$ [p. 73 not. 2]. fieri igitur potest, ut ab $\varDelta$ ducatur linea $\varDelta\Pi$ ad lineam contingentem, ita ut sit $PN : \Theta\Pi = \Theta\varDelta : \varDelta\varLambda$ [prop. 8]. itaque linea $\varDelta\Pi$ circulum in puncto P secabit, spiralem autem in puncto X. et etiam uicissim erit [Eucl. V, 16] $NP : P\varDelta$[1]) $= \Theta\Pi : \varDelta\varLambda$. linea autem $\Theta\Pi$ ad $\varDelta\varLambda$ maiorem rationem habet, quam arcus ΘP ad ambitum circuli ΘHK; nam linea $\Theta\Pi$ maior est arcu ΘP[2]), et $\varDelta\varLambda$ minor ambitu circuli ΘHK [ex hypothesi]. itaque maiorem rationem habet $NP : \varDelta P$, quam arcus ΘP ad ambitum circuli ΘHK. quare etiam $P\varDelta : N\varDelta$ maiorem rationem habet, quam ambitus circuli ΘHK ad arcum ΘKP.[3]) sed quam rationem habet ambitus circuli ΘHK ad arcum ΘKP, eam habet $\Theta\varDelta : \varDelta X$. hoc enim demonstratum est [prop. 14]. erit igitur $P\varDelta : \varDelta N > \Theta\varDelta : \varDelta X$; quod fieri non potest.[4]) itaque linea $Z\varDelta$ neque maior est neque minor ambitu circuli ΘHK. itaque aequalis est.

---

1) Nam $P\varDelta = \Theta\varDelta$.

2) Si ducitur $H\Pi$, erit $H\Pi + \Pi\Theta$ maior arcu $H\Theta$ (de sph. et cyl. I λαμβ. 2 p. 8); sed $H\Pi + \Pi\Theta = 2\Theta\Pi$ (Zeitschr. f. Math., hist. Abth. XXIV p. 181 nr. 15), et arcus

$$H\Theta = 2\Theta P \supset : \Theta\Pi > \Theta P.$$

3) Nam ἀνάπαλιν est $\varDelta P : NP < \Theta HK : \Theta P$ (Pappus VII, 49 p. 688), et ἀναστρέψαντι $\varDelta P : \varDelta N > \Theta HK : \Theta KP$ (Pappus VII, 48 p. 686).

4) $P\varDelta = \Theta\varDelta$, et $\varDelta N > \varDelta X$; tum u. Eucl. V, 8.

ιθ'.

Εἰ δέ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος κατὰ τὸ πέρας ἐπιψαύῃ εὐθεῖα, καὶ ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ' ὀρθὰς τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, συμπεσεῖται αὐτὰ ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἐσσεῖται ἁ εὐθεῖα ἁ μεταξὺ τᾶς ἐπιψαυούσας καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος διπλασία τᾶς τοῦ δευτέρου κύκλου περιφερείας.

ἔστω γὰρ ἁ μὲν $AB\Gamma\Theta$ ἕλιξ ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, ἁ δὲ ΘET ἐν τᾷ δευτέρᾳ, καὶ ὁ μὲν ΘKH κύκλος ὁ πρῶτος, ὁ δὲ TMN ὁ δεύτερος. ἔστω δέ τις γραμμὰ ἐπιψαύουσα τᾶς ἕλικος κατὰ τὸ Θ, ἁ TZ, ἁ δὲ ZA ποτ' ὀρθὰς ἄχθω τᾷ TA. συμπεσεῖται δὴ αὐτὰ τᾷ TZ διὰ τὸ δεδεῖχθαι τὰν γωνίαν ὀξεῖαν ἐοῦσαν τὰν ὑπὸ τᾶν AT, TZ. δεικτέον, ὅτι ἁ ZA εὐθεῖα διπλασία ἐντὶ τᾶς τοῦ TMN κύκλου περιφερείας.

εἰ γὰρ μή ἐστι διπλασία, ἤτοι μείζων ἐστὶν ἢ διπλασία ἢ ἐλάσσων ἐστὶν ἢ διπλασία. ἔστω πρότερον, εἰ δυνατόν, μείζων ἢ διπλασία. καὶ λελάφθω τις εὐθεῖα ἁ ΛA τᾶς μὲν ZA εὐθείας ἐλάσσων, τᾶς δὲ τοῦ TMN κύκλου περιφερείας μείζων ἢ διπλασία. ἔστιν δή τις κύκλος ὁ TMN, καὶ ἐν τῷ κύκλῳ γραμμὰ δεδομένα ἐλάσσων τᾶς διαμέτρου ἁ TN, καὶ ὃν ἔχει ἁ TA ποτὶ τὰν $A\Lambda$, μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς TN ποτὶ τὰν ἀπὸ τοῦ A κάθετον ἐπ' αὐτὰν ἀγομέναν. δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ A ποτιβαλεῖν τὰν $A\Sigma$ ποτὶ τὰν TN ἐκβεβλημέναν ὥστε τὰν μεταξὺ τᾶς

1. κ' F. 2. κα] scripsi; κατα F, uulgo; del. Nizzius. 3. επιψανοι F; corr. Torellius. 5. συνπεσειται F. 7. αρχας

XIX.

Sin spiralem secunda circumactione descriptam in termino contingit linea, et a principio spiralis linea ad principium circumactionis perpendicularis ducitur, ea in lineam contingentem incidet, et linea inter contingentem et principium spiralis posita duplo maior erit ambitu circuli secundi.

nam spiralis *ΑΒΓΘ* prima circumactione descripta sit, *ΘΕΤ* autem secunda, et circulus *ΘΚΗ* primus sit, *ΤΜΝ* autem secundus. et linea aliqua *ΤΖ* spiralem contingat in puncto *Θ*, et linea *ΖΑ* ad lineam *ΤΑ* perpendicularis ducatur. ea igitur in lineam *ΤΖ* incidet, quia demonstratum est, angulum lineis *ΑΤ*, *ΤΖ* comprehensum acutum esse [prop. 17]. demonstrandum, lineam *ΖΑ* duplo maiorem esse ambitu circuli *ΤΜΝ*.

nam si duplo maior non est, aut maior est aut minor quam duplo maior. sit prius, si fieri potest, maior quam duplex. et sumatur linea *ΛΑ* minor quam duplo maior linea *ΖΑ*, sed maior quam duplo maior ambitu circuli *ΤΜΝ* [prop. 4]. itaque datus est circulus *ΤΜΝ*, et in circulo linea minor diametro, *ΤΝ* [p. 73 not. 1], et [ratio] *ΤΑ* : *ΑΛ* maior ea, quam habet dimidia linea *ΤΝ* ad lineam ab *Α* ad eam perpendicularem ductam [p. 73 not. 2]. fieri igitur potest, ut ab *Α* linea *ΑΣ* ad lineam *ΤΝ* productam ita

---

και τας F; corr. B. 14. *δή*] scripsi; *δε* F, uulgo. *αὐτά*] Nizzius; *τα αυτα* F, uulgo. 15. *ουσαν* F, uulgo. *τᾶν*] *τῶν* per comp. F; corr. V. *ΑΤΖ* F, uulgo. 23. *γραμμὰ δεδομένα*] scripsi; *γεγραμμενα* F, uulgo; *γραμμά* B; „linea data" Cr. 24. *ἔχει λόγον* B*D, ed. Basil., Torellius (non C*).

περιφερείας καὶ τᾶς ἐκβεβλημένας τὰν ΡΣ ποτὶ τὰν ΤΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΤΑ ποτὶ τὰν ΑΔ. τεμεῖ δὴ ἁ ΑΣ τὸν μὲν κύκλον κατὰ τὸ Ρ, τὰν δὲ



ἕλικα κατὰ τὸ Χ. καὶ ἐναλλὰξ τὸν αὐτὸν ἕξει λόγον ἁ ΡΣ ποτὶ τὰν ΤΑ, ὃν ἁ ΤΡ ποτὶ τὰν ΑΔ. ἁ δὲ ΤΡ ποτὶ τὰν ΑΔ ἐλάσσονα λόγον ἔχει, ἢ ἁ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίαν τοῦ ΤΜΝ κύκλου περιφέρειαν. ἔστιν γὰρ ἁ μὲν ΤΡ εὐθεῖα ἐλάσσων τᾶς ΤΡ περιφερείας, ἁ δὲ ΑΔ εὐθεῖα μείζων ἢ διπλασία τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΡΣ ποτὶ τὰν ΑΡ, ἢ ἁ ΤΡ περιφέρεια ποτὶ τὰν διπλασίαν τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. ὅλα οὖν ἁ ΣΑ ποτὶ τὰν ΑΡ ἐλάσσονα λόγον ἔχει, ἢ ἁ ΤΡ περιφέρεια μετὰ τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας δὶς εἰρημένας ποτὶ τὰν τοῦ ΤΜΝ κύκλου περιφέρειαν δὶς εἰρημέναν. ὃν δὲ λόγον ἔχοντι αἱ εἰρημέναι περιφερείαι, τοῦτον ἔχει τὸν λόγον ἁ ΧΑ ποτὶ τὰν ΑΤ. δεδείκται γὰρ τοῦτο. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ ΑΣ ποτὶ τὰν ΑΡ, ἢ ἁ ΧΑ ποτὶ τὰν ΤΑ· ὅπερ ἀδύνατον. οὐκ ἄρα μείζων ἐστὶν ἢ διπλασία ἁ

2. εχει F; corr. B. 7. διπλασια F. ΤΜΝ] ΜΝ F;

ducatur, ut sit $P\Sigma : TP = TA : A\Lambda$. $A\Sigma$ igitur circulum in puncto P secabit, spiralem autem in puncto X. et uicissim erit [Eucl. V, 16]: $P\Sigma : TA = TP : A\Lambda$. sed ratio $TP : A\Lambda$ minor est ea, quam habet arcus TP ad duplicem ambitum circuli TMN. nam linea TP minor est arcu TP, et linea $A\Lambda$ maior quam duplo maior ambitu circuli TMN. quare linea $P\Sigma$ ad AP[1]) minorem rationem habet, quam arcus TP ad duplicem ambitum circuli TMN. itaque tota linea ΣA ad AP minorem rationem habet, quam arcus TP cum ambitu circuli TMN bis numerato ad ambitum circuli TMN bis numeratum.[2]) sed quam rationem habent ambitus, quos significauimus, eam habet $XA : AT$. hoc enim demonstratum est.[3]) itaque

$$A\Sigma : AP < XA : TA;$$

quod fieri non potest.[4]) itaque linea ZA maior non

1) Nam $AP = AT$.

2) Sc. συνθέντι; u. p. 67 not. 2.

3) Prop. 15; hoc loco altera linea in terminum spiralis cadit; sed hoc nihil ad demonstrationem referre, diserte dictum est prop. 14 p. 60, 6 et 15 coroll. p. 62, 15. tum arcus a linea ad terminum spiralis uersus abscisus nullus est.

4) Nam $A\Sigma > XA$ et $AP = TA$; tum u. Eucl. V, 8.

M ed. Basil., uulgo; corr. Torellius. 14. τοῦ] addidi; om. F, uulgo. 15. εἰλημμένας et lin. 16 εἰλημμέναν Torellius. 16. εχουσιν F, uulgo. 19. *AP* ἢ ἁ *XA* ποτὶ τάν repetuntur in F.

ΖΑ εὐθεῖα τᾶς τοῦ ΤΜΝ κύκλου περιφερείας. ὁμοίως δὲ δειχθησέται, ὅτι οὐδὲ ἐλάττων ἢ διπλασία. δῆλον οὖν, ὅτι διπλασία ἐστίν.

ΠΟΡΙΣΜΑ.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δεικτέον, καὶ εἴ κα τᾶς ἐν ὁποιαοῦν περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ τις εὐθεῖα κατὰ τὸ πέρας τᾶς ἕλικος, καὶ ἀπὸ τᾶς ἀρχᾶς τᾶς ἕλικος ποτ' ὀρθὰς ἀχθεῖσα τᾷ ἀρχᾷ τᾶς περιφορᾶς συμπίπτῃ ποτὶ τὰν ἐπιψαύουσαν, ὅτι πολλαπλασία ἐστὶ τᾶς τοῦ κύκλου περιφερείας τοῦ κατὰ τὸν ἀριθμὸν τᾶς περιφορᾶς λεγομένου τῷ αὐτῷ ἀριθμῷ.

κ'.

Εἴ κα τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας εὐθεῖα γραμμὰ ἐπιψαύῃ μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, ἀπὸ δὲ τᾶς ἁφᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος εὐθεῖα ἐπιζευχθῇ, καὶ κέντρῳ μὲν τᾷ ἀρχᾷ τᾶς ἕλικος, διαστήματι δὲ τᾷ ἐπιζευχθείσᾳ κύκλος γραφῇ, ἀπὸ δὲ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἀχθῇ τις ποτ' ὀρθὰς τᾷ ἀπὸ τᾶς ἁφᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθείσᾳ, συμπεσεῖται αὐτὰ ποτὶ τὰν ἐπιψαύουσαν, καὶ ἐσσεῖται ἁ μεταξὺ εὐθεῖα τᾶς τε συμπτώσιος καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα τᾷ περιφερείᾳ τοῦ γραφέντος κύκλου τᾷ μεταξὺ τᾶς ἁφᾶς καὶ τᾶς τομᾶς, καθ' ἂν τέμνει ὁ γραφεὶς κύκλος τὰν ἀρχὰν τᾶς περιφορᾶς, ἐπὶ τὰ

---

9. ὅτι] Nizzius; om. F, uulgo. 13. κα' F. 19. τᾷ] om. F; corr. ABC. Initio prop. 20 spatium uacat in F. 21. ἐσσεῖται] ἐσσειται F. 22. συμπτώσιος] scripsi; συμπτωσιας F, uulgo. 24. τᾷ] τας F; corr. B man. 2*. ἂν] scripsi; ὁ F, uulgo.

est quam duplo maior ambitu circuli *TMN*. et similiter demonstrabimus, eam ne minorem quidem esse quam duplo maiorem. adparet igitur, eam duplo maiorem esse.

COROLLARIUM.

Eodem modo demonstrandum, etiam si spiralem qualibet circumactione descriptam linea in termino spiralis contingat, et a principio spiralis linea ad principium circumactionis perpendicularis ducatur et in contingentem incidat, eam toties multiplicem esse quam ambitum circuli ex numero circumactionis nominati, quoties indicet idem numerus.[1])

XX.

Si spiralem prima circumactione descriptam recta linea contingit extra terminum spiralis, et a puncto tactionis ad principium spiralis linea ducitur, et describitur circulus, cuius centrum est principium spiralis, radius autem linea ducta, et a principio spiralis linea ducitur ad lineam a puncto tactionis ad principium spiralis ductam perpendicularis, ea in lineam contingentem incidet, et linea inter punctum concursionis et principium spiralis posita aequalis erit ambitui circuli descripti inter punctum tactionis et sectionem posito, in qua circulus descriptus principium

1) Cfr. prop. 15 coroll. et prop. 17 coroll.

προαγούμενα λαμβανομένας τᾶς περιφερείας ἀπὸ τοῦ σαμείου τοῦ ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα, καὶ ἐπιψανέτω τις αὐτᾶς εὐθεῖα ἁ ΕΔΖ κατὰ τὸ Δ, ἀπὸ δὲ τοῦ Δ ποτὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπεζεύχθω ἁ ΑΔ, καὶ κέντρῳ μὲν τῷ Α, διαστήματι δὲ τῷ ΑΔ κύκλος γεγράφθω ὁ ΔΜΝ. τεμνέτω δ' οὗτος τὰν ἀρχὰν τᾶς περιφορᾶς κατὰ τὶ Κ. ἄχθω δὲ ἁ ΖΑ ποτὶ τὰν ΑΔ ὀρθά. ὅτι μὲν οὖν αὐτὰ συμπίπτει ποτὶ τὰν ΖΔ, δῆλον· ὅτι δὲ καὶ ἴσα ἐστὶν ἁ ΖΑ εὐθεῖα τᾷ ΚΜΝΔ περιφερείᾳ, δεικτέον.

εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάσσων. ἔστω, εἰ δυνατόν, πρότερον μείζων. λελάφθω δή τις ἁ ΛΑ



τᾶς μὲν ΖΑ εὐθείας ἐλάσσων, τᾶς δὲ ΚΜΝΔ περιφερείας μείζων. πάλιν δὴ κύκλος ἐστὶν ὁ ΚΜΝ, καὶ ἐν τῷ κύκλῳ γραμμὰ ἐλάσσων τᾶς διαμέτρου ἁ ΔΝ, καὶ λόγος, ὃν ἔχει ἁ ΔΑ ποτὶ ΑΛ μείζων τοῦ, ὃν ἔχει ἁ ἡμίσεια τᾶς ΔΝ ποτὶ τὰν ἀπὸ τοῦ Α κάθετον ἐπ' αὐτὰν ἀγμέναν. δυνατὸν οὖν ἐστιν ἀπὸ τοῦ Α ποτιβαλεῖν τὰν ΑΕ ποτὶ τὰν ΝΔ ἐκβεβλημέναν, ὥστε τὰν ΕΡ ποτὶ τὰν ΔΡ τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἁ ΔΑ ποτὶ τὰν ΑΛ. δεδείκται γὰρ τοῦτο δυνατὸν ἐόν.

---

1. *προαγμενα* F, supra scripto compendio *ου* insolenter

circumactionis secat, ambitu a puncto in principio circumactionis posito ad praecedentia uersus sumpto.

sit spiralis, in qua sit $AB\Gamma\Delta$, prima circumactione descripta, et eam contingat linea aliqua $E\Delta Z$ in puncto Δ, et a puncto Δ ad principium spiralis ducatur $A\Delta$, et describatur circulus ΔMN, cuius centrum sit A, radius autem $A\Delta$. hic autem principium circumactionis in puncto K secet. et ducatur linea ZA ad lineam $A\Delta$ perpendicularis. adparet igitur, eam in lineam $Z\Delta$ incidere [angulus enim $A\Delta Z$ acutus est; prop. 16]. sed demonstrandum est, lineam ZA etiam aequalem esse arcui $KMN\Delta$.

nam si non est, aut maior est aut minor. sit prius, si fieri potest, maior. sumatur igitur linea ΛA minor linea ZA, sed maior arcu $KMN\Delta$ [prop. 4]. rursus igitur datus est circulus KMN, et in circulo linea ΔN minor diametro [p. 73 not. 1], et ratio $\Delta A : A\Lambda$ maior ea, quam habet dimidia linea ΔN ad lineam ab A ad eam perpendicularem ductam [p. 73 not. 2]. fieri igitur potest, ut ab A ducatur linea AE ad lineam $N\Delta$ productam, ita ut sit $EP : \Delta P = \Delta A : A\Lambda$. nam demonstratum est, hoc fieri posse [prop. 7]. quare

---

ducto; *προαγευμενα* ed. Basil. 3. *περιφορᾶ*] Torellius; om. F, uulgo. 4. *καί* supra scriptum manu 1 F. 5. $E\Delta Z$] Nizzius; AEZ F, ΔEZ uulgo. 8. *ουτως* F; corr. Torellius. 10. *ποτὶ τὰν* $Z\Delta$] addidi; om. F, uulgo. 13. *πρωτερον* F. *δή*] scripsi; *δε* F, uulgo. 17. *ποτί*] *προς* per comp. F; corr. Torellius.

ἕξει οὖν καὶ ἁ *ΕΡ* ποτὶ τὰν *ΑΡ* τὸν αὐτὸν λόγον, ὃν ἁ *ΔΡ* ποτὶ τὰν *ΑΔ*. ἁ δὲ *ΔΡ* ποτὶ τὰν *ΑΔ* ἐλάσσονα λόγον ἔχει, ἢ ἁ *ΔΡ* περιφέρεια ποτὶ τὰν *ΚΜΔ* περιφέρειαν, ἐπεὶ ἁ μὲν *ΔΡ* ἐλάσσων ἐστὶ τᾶς *ΔΡ* περιφερείας, ἁ δὲ *ΑΔ* μείζων τᾶς *ΚΜΔ* περιφερείας. ἐλάσσονα οὖν λόγον ἔχει ἁ *ΕΡ* εὐθεῖα ποτὶ *ΡΑ*, ἢ ἁ *ΔΡ* περιφέρεια ποτὶ τὰν *ΚΜΔ* περιφέρειαν· ὥστε καὶ ἁ *ΑΕ* ποτὶ *ΑΡ* ἐλάσσονα λόγον ἔχει, ἢ ἁ *ΚΜΡ* περιφέρεια ποτὶ τὰν *ΚΜΔ* περιφέρειαν. ὃν δὲ λόγον ἔχει ἁ *ΚΜΡ* ποτὶ τὰν *ΚΜΔ* περιφέρειαν, τοῦτον ἔχει ἁ *ΧΑ* ποτὶ *ΑΔ*. ἐλάσσονα ἄρα λόγον ἔχει ἁ *ΕΑ* ποτὶ *ΑΡ*, ἢ ἁ *ΑΧ* ποτὶ *ΔΑ*· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα μείζων ἁ *ΖΑ* τᾶς *ΚΜΔ* περιφερείας. ὁμοίως δὲ τοῖς πρότερον δειχθησέται, ὅτι οὐδὲ ἐλάσσων ἐστίν· ἴσα ἄρα.

ΠΟΡΙΣΜΑ.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δειχθησέται, καὶ εἴ κα τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας ἕλικος ἐπιψαύῃ εὐθεῖα μὴ κατὰ τὸ πέρας τᾶς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευασθέωντι, ὅτι ἁ μεταξὺ εὐθεῖα ἁ ποτὶ τὰν ἐπιψαύουσαν συμπίπτουσα τᾶς τε συμπτώσιος καὶ τᾶς ἀρχᾶς τᾶς ἕλικος ἴσα ἐστὶν ὅλᾳ τᾷ τοῦ γραφέντος κύκλου περιφερείᾳ καὶ ἔτι τᾷ μεταξὺ τῶν εἰρημένων σαμείων, ὡσαύτως τᾶς περιφερείας λαμβανομένας. καὶ εἴ κα τᾶς ἐν ὁποιᾳοῦν γεγραμμένας περιφορᾷ ἕλικος ἐπιψαύῃ τις εὐθεῖα μὴ κατὰ τὸ πέ-

---

2. δὲ *ΔΡ*] δε *ΑΡ* F; corr. Torellius. 6. ποτί] προς per comp. F; corr. Torellius, ut lin. 8, 9, 10, 11, 12 (bis). 9. τάν] addidi; om. F, uulgo. 12. ἁ *ΕΑ*] η *ΕΑ* F; corr. Torellius. ἁ *ΑΧ*] ἁ om. F. 15. ιση F; corr. Torellius. 20. κατασκευασθεντι F; corr. Torellius. ἁ] (alt.) scripsi; τας

etiam erit [Eucl. V, 16] $E P : A P = \varDelta P : A A$.[1]) sed $\varDelta P$ ad $A A$ minorem rationem habet, quam arcus $\varDelta P$ ad arcum $K M \varDelta$, quoniam linea $\varDelta P$ minor est arcu $\varDelta P$, linea autem $A A$ maior arcu $K M \varDelta$ [ex hypothesi]. itaque $E P$ ad $P A$ minorem rationem habet, quam arcus $\varDelta P$ ad arcum $K M \varDelta$. quare etiam $A E$ ad $A P$ minorem rationem habet, quam arcus $K M P$ ad arcum $K M \varDelta$.[2]) sed quam rationem habet arcus $K M P$ ad arcum $K M \varDelta$, eam habet $X A : A \varDelta$ [prop. 14]. erit igitur $E A : A P < A X : \varDelta A$; quod fieri non potest.[3]) quare linea $Z A$ arcu $K M \varDelta$ maior non est. et eodem modo, quo supra, demonstrabimus, ne minorem quidem eam esse. itaque aequalis est.

COROLLARIUM.

Eodem autem modo demonstrabimus, etiam si spiralem secunda circumactione descriptam linea contingat extra terminum spiralis, et cetera eadem comparentur, lineam in contingentem incurrentem inter punctum concursionis et principium spiralis comprehensam aequalem esse toti ambitui circuli descripti et praeterea arcui inter puncta, quae commemorauimus [p. 82, 24], comprehenso, arcu eodem modo sumpto. et etiam si spiralem qualibet circumactione descriptam linea contingat extra terminum spiralis, et cetera eadem com-

1) Nam $\varDelta A = A P$.
2) *συνθέντι*; u. p. 67 not. 2.
3) Nam $A P = \varDelta A$ et $E A > A X$; tum u. Eucl. V, 8.

F, uulgo; om. B. 21. *συμπιπτούσας* Torellius. *τᾶς τε συμπτώσιος*] addidi; om. F, uulgo. 22. *καί*] *ἀπό* ed. Basil., Torellius. 26. *περιφορας* F; corr. A.

ρας τᾶς ἕλικος, τὰ δὲ ἄλλα τὰ αὐτὰ κατασκευασθέωντι, ὅτι ἁ μεταξὺ εὐθεῖα τῶν εἰρημένων σαμείων πολλαπλασία τίς ἐστι τᾶς τοῦ γραφέντος κύκλου περιφερείας κατὰ τὸν ἑνὶ ἐλάσσονα ἀριθμὸν τοῦ, καθ' ὃν αἱ περιφοραὶ λεγόνται, καὶ ἔτι ἴσα τᾷ μεταξὺ τῶν εἰρημένων σαμείων ὁμοίως λαμβανομένᾳ.

κα'.

Λαμβάνοντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς πρώτας ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς δυνατόν ἐστι περὶ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι καὶ ἄλλο ἐγγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγεγραμμένον τοῦ ἐγγεγραμμένου μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔ, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα. ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Θ σαμεῖον, ἀρχὰ δὲ τᾶς περιφορᾶς ἁ ΘΑ, ὁ δὲ πρῶτος κύκλος ὁ ΖΗΙΑ, αἱ δὲ ΑΗ, ΖΙ διαμέτροι αὐτοῦ ποτ' ὀρθὰς ἀλλάλαις. ἀεὶ δὴ τᾶς ὀρθᾶς γωνίας δίχα τεμνομένας καὶ τοῦ τομέως τοῦ τὰν ὀρθὰν γωνίαν περιέχοντος ἐσσείται τὸ καταλειπόμενον τοῦ τομέως ἔλασσον τοῦ προτεθέντος. καὶ ἔστω γεγενημένος ὁ τομεὺς ὁ



1. κατεσκευασθαιωντι F. 4. ἑνί] Torellius; om. F, uulgo. 6. λαμβανομένᾳ] scripsi; λαμβανομενας F, uulgo. 7. κβ' F.

parentur, lineam inter puncta, quae significauimus, comprehensam toties multiplicem esse quam ambitum circuli descripti, quoties indicet numerus uno minor eo, quo circumactiones nominentur, et praeterea aequalem [arcui] inter puncta, quae commemorauimus, eodem modo sumpto.[1])

XXI.

Sumpto spatio comprehenso spirali prima circumactione descripta et linea prima earum, quae in principio circumactionis sunt, fieri potest, ut circum hoc spatium circumscribatur figura plana et alia inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet spatium datum.

sit spiralis, in qua sit *ΑΒΓΔ*, prima circumactione descripta. et principium spiralis sit punctum *Θ*, principium autem circumactionis linea *ΘΑ*, et primus circulus *ΖΗΙΑ*, et diametri *ΑΗ*, *ΖΙ* inter se perpendiculares. angulo igitur recto et sectore, qui rectum angulum comprehendit, semper deinceps in duas partes aequales diuiso, quae relinquitur pars sectoris, [aliquando] minor erit dato spatio [Eucl. X, 1]. et ortus

1) Cfr. prop. 15 coroll., prop. 17 coroll.

---

8. *λαμβάνοντα*] *λαβόντα*? 12. *τομων* F; corr. Nizzius; idem uerba *ἐξ ὁμοίων τομέων συγκείμενον* post *περιγράψαι* collocat. 20. *ποτ'*] *προς* per comp. F; corr. Torellius. *αλληλαις* F addito compendio *ας* supra *λ*; corr. Torellius. 23. *την ορθην* F; corr. Torellius. In figura ordo litterarum turbatus est in F.

ΑΘΚ ἐλάσσων τοῦ προτεθέντος χωρίου. διαιρήσθωσαν δὴ αἱ γωνίαι αἱ τέσσαρες ὀρθαὶ εἰς τὰς ἴσας γωνίας τᾷ περιεχομένᾳ ὑπὸ τᾶν ΑΘ, ΘΚ, καὶ αἱ ποιοῦσαι τὰς γωνίας εὐθεῖαι ἔστε ποτὶ τὰν ἕλικα ἄχθωσαν. καθ' ὃ δὴ τέμνει σαμεῖον ἁ ΘΚ τὰν ἕλικα, ἔστω τὸ Λ, καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ ΘΛ κύκλος γεγράφθω. πεσεῖται δὴ αὐτοῦ ἁ μὲν εἰς τὰ προαγούμενα περιφέρεια ἐντὸς τᾶς ἕλικος, ἁ δὲ εἰς τὰ ἑπόμενα ἐκτός. γεγράφθω δὴ ἁ περιφέρεια, ἔστε κα συμπέσῃ τᾷ ΘΛ κατὰ τὸ Ο, ἁ ΟΜ, καὶ τᾷ μετὰ τὰν ΘΚ εὐθεῖαν ποτὶ τὰν ἕλικα ποτιπιπτούσᾳ. πάλιν δὴ καὶ καθ' ὃ τέμνει τὰν ἕλικα σαμεῖον ἁ ΘΜ, ἔστω τὸ Ν, καὶ κέντρῳ τῷ Θ, διαστήματι δὲ τῷ ΘΝ κύκλος γεγράφθω, ἔστε κα συμπέσῃ ἁ περιφέρεια τοῦ κύκλου τᾷ ΘΚ καὶ τᾷ μετὰ τὰν ΘΜ ποτιπιπτούσᾳ ποτὶ τὰν ἕλικα. ὁμοίως δὲ καὶ διὰ τῶν ἄλλων πάντων, κατ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας ποιοῦσαι, κύκλοι γεγράφθωσαν κέντρῳ τῷ Θ, ἔστ' ἂν συμπέσῃ ἑκάστα ἁ περιφέρεια τᾷ τε προαγουμένᾳ εὐθείᾳ καὶ τᾷ ἑπομένᾳ. ἐσσεῖται δή τι περὶ τὸ λαφθὲν χωρίον περιγεγραμμένον ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγεγραμμένον. ὅτι δὲ τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου μεῖζόν ἐστιν ἐλάσσονι τοῦ προτεθέντος χωρίου, δειχθησέται. ἔστιν γὰρ ὁ μὲν ΘΛΟ τομεὺς ἴσος τῷ ΘΜΛ, ὁ δὲ ΘΝΠ τῷ ΘΝΡ, ὁ δὲ ΘΧΣ τῷ ΘΧΤ, ἔστιν δὲ καὶ τῶν ἄλλων τομέων

---

2. *δὴ αἱ*] *δη ουν* F; corr. B. 3. *τας περιεχομενας* F; corr. Torellius. 4. *ἔστε ποτί*] scripsi; *εσ την κατα* F, uulgo; *ἐκβεβλήσθωσαν ἔστ' ἂν κατά* Torellius. *ἄχθωσαν*] B; *αχθωσιν* F, uulgo; *ἀχθῶντι* Torellius. 7. *δή*] *δι* F; corr. B*. *προαγούμενα*] scripsi; *προαγωμενα* F; *προαγόμενα* uulgo. 8. *περιφερειαι* F. 9. *ἔστε κα*] scripsi; *εσται* (comp.) *καν* F, uulgo;

sit sector $\varLambda\Theta K$ dato spatio minor. diuidantur igitur anguli recti quattuor in angulos ei aequales, qui lineis $\varLambda\Theta$, ΘK comprehenditur, et lineae angulos efficientes usque ad spiralem producantur. punctum igitur, in quo linea ΘK spiralem secat, sit $\varLambda$, et describatur circulus, cuius centrum sit Θ, radius autem $\Theta\varLambda$. ea igitur pars ambitus eius, quae in praecedentibus est, intra spiralem cadet, quae in sequentibus est, extra. describatur igitur ambitus usque eo, ut occurrat et lineae ΘA in puncto O et lineae post ΘK ad spiralem ductae, et sit $\dot{O}M$. rursus igitur punctum, in quo linea ΘM spiralem secat, sit N, et describatur circulus, cuius centrum sit Θ, radius autem ΘN, usque eo, ut ambitus circuli lineae ΘK et lineae post ΘM ad spiralem ductae occurrat. et eodem modo etiam per cetera omnia puncta, in quibus lineae aequales angulos efficientes spiralem secant, circuli describantur quorum centrum sit Θ, usque eo ut singuli ambitus et praecedenti lineae et sequenti occurrant. itaque circum spatium sumptum [figura] quaedam circumscripta erit et alia inscripta ex similibus sectoribus compositae. demonstrabimus autem, figuram circumscriptam excedere inscriptam spatio minore, quam est datum spatium. est enim $\Theta\varLambda O = \Theta M\varLambda$, $\Theta N\Pi = \Theta NP$, $\Theta X\Sigma = \Theta XT$, et ceterorum quoque

---

ἔστ' ἄν B mg., Torellius. 11. *ποτιπιπτούσᾳ κατὰ τὸ M* Torellius. 13. ΘN] ΘN supra scripto K manu 1, ut uidetur, F; ΘKH C. 14. *ἔστε κα*] scripsi; *εσται και* (utrumque comp.) F; *ἔστ' ἄν* B, Torellius (qui addit ΘK). 15. *τᾷ* ΘK] om. F; corr. B. 16. *καθ' ἃ* Torellius. 19. *ἑκαστας* F; corr. Torellius. *προαγουμένᾳ*] scripsi; *προαγομενα* F, uulgo. 20. *ἐσσεῖται*] scripsi; *εσται* per comp. F, uulgo. 21. *περιγεγραμμένον σχῆμα* Torellius. *τομαιων* F.

ἕκαστος τῶν ἐν τῷ ἐγγεγραμμένῳ σχήματι ἴσος τῷ κοινὰν ἔχοντι πλευρὰν τομεῖ τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι τομέων. δῆλον οὖν, ὅτι καὶ πάντες οἱ τομεῖς πάντεσσιν ἴσοι ἐσσοῦνται. ἴσον ἄρα ἐστὶν τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ τῷ περιγεγραμμένῳ περὶ τὸ χωρίον σχήματι χωρὶς τοῦ $ΘΑΚ$ τομέως. μόνος γὰρ οὗτος οὐ λελάπται τῶν ἐν τῷ περιγεγραμμένῳ σχήματι. δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου μεῖζόν ἐστι τῷ $ΑΚΘ$ τομεῖ, ὅς ἐλάσσων ἐστὶν τοῦ προτεθέντος.

ΠΟΡΙΣΜΑ.

ἐκ τούτου δὲ φανερόν, ὅτι δυνατόν ἐστι περὶ τὸ εἰρημένον χωρίον σχῆμα, οἷον εἰρήται, γράφειν, ὥστε τὸ περιγεγραμμένον σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράφειν, ὥστε τὸ χωρίον ὁμοίως μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κβ'.

Λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας, ἅ ἐστι δευτέρα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς δυνατόν ἐστι περὶ αὐτὸ σχῆμα ἐπίπεδον περιγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

---

4. εσουνται F, uulgo. 5. τῷ] (alterum) το F. 7. οὐ] addidi cum Nizzio; om. F, uulgo; λέλειπται B. 9. μεῖζον] BCD; μειζων F, uulgo. 14. εἶμεν] Torellius; ειναι per comp. F, uulgo. 15. ἐλάσσονι] ελασσον ειμεν F; corr. B. καὶ cum

sectorum unusquisque eorum, qui in figura inscripta sunt, aequalis est sectori latus commune habenti eorum, qui in figura circumscripta sunt. adparet igitur, etiam omnes sectores omnibus aequales fore. itaque figura spatio inscripta aequalis est figurae circumscriptae praeter sectorem ΘAK. hic enim solus non adsumptus est eorum, qui in figura circumscripta sunt. adparet igitur, figuram circumscriptam excedere inscriptam sectore $AK\Theta$, qui minor est spatio dato [ex hypothesi].

COROLLARIUM.

Hinc autem manifestum est, fieri posse, ut circum spatium, quod commemorauimus, figura huiusmodi describatur, ita ut figura circumscripta spatium excedat spatio minore, quam est quodlibet spatium datum, et rursus inscribatur, ita ut spatium eodem modo figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium.[1])

XXII.

Sumpto spatio comprehenso spirali secunda circumactione descripta et linea secunda earum, quae in principio circumactionis sunt, fieri potest, ut circum id [spatium] figura plana circumscribatur et alia inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet datum spatium.

1) Nam spatium maius est figurá inscripta, minus uero circumscripta.

comp. ην uel ιν F. 16. μειζ cum comp. ων F. 19. κγ′ F. 20. υπό τε B, Torellius.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔΕ, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα. καὶ ἔστω τὸ μὲν Θ σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ ΑΘ ἀρχὰ τᾶς περιφορᾶς, ἁ δὲ ΕΑ ἁ δευτέρα εὐθεῖα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς. ὁ δὲ ΑΖΗ κύκλος ἔστω δεύτερος, καὶ αἱ ΑΓΗ, ΖΙ διαμέτροι αὐτοῦ ποτ' ὀρθὰς ἀλλάλαις. πάλιν οὖν δίχα τεμνομένας τᾶς ὀρθᾶς γωνίας καὶ τοῦ τομέως τοῦ τὰν ὀρθὰν γωνίαν περιέχοντος ἐσσεῖται τὸ καταλειπόμενον ἔλασσον τοῦ προτεθέντος. καὶ ἔστω γεγενημένος ὁ ΘΚΑ τομεὺς ἐλάσσων τοῦ προτεθέντος. διαιρεθεισᾶν δὴ τᾶν ὀρθᾶν γωνιᾶν εἰς τὰς ἴσας γωνίας τᾷ ὑπὸ τᾶν ΚΘ, ΘΑ καὶ τῶν ἄλλων κατασκευασθέντων κατὰ τὰ αὐτὰ τοῖς πρότερον ἐσσεῖται τὸ περιγεγραμμένον σχῆμα τοῦ ἐγγεγραμμένου σχήματος μεῖζον ἐλάσσονι, ἢ ὁ τομεὺς ὁ ΘΚΑ. μεῖζον γὰρ ἐσσεῖται τᾷ ὑπεροχᾷ, ᾇ ὑπερέχει ὁ ΘΚΑ τομεὺς τοῦ ΘΕΡ.

ΠΟΡΙΣΜΑ Α'.

δῆλον οὖν, ὅτι δυνατόν ἐστι καὶ τὸ περιγραφὲν σχῆμα τοῦ λαφθέντος χωρίου μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

---

6. ΑΓΗ] αΓΗ F; corr. ACD; ΓΗ B, ed. Basil.; ΑΗ Torellius. ποτ'] προς per comp. F; corr. Torellius. αλληλαις F; corr. Torellius. 7. παλ cum comp. ην uel ιν F, ut lin. 21. ἀεὶ δίχα Torellius. 8. την ορθην (comp.) F; corr. Torellius. 9. καὶ ἔστω ad προτεθέντος lin. 11 mg. F, manu 1, signo adposito, quod idem in textu exstat; χωρίου addidit (lin. 11) ed. Basil., Torellius. 12. τᾶν] των per comp. F; corr. Torellius. ΚΘΑ F, uulgo. 15. μεῖζον] (alt.) μειζων per comp. F; corr. Torellius. 16. τᾷ] Torellius; ἁ F, uulgo. 20. λαμφθεντος F.

sit spiralis, in qua sit $AB\Gamma\Delta E$, secunda circumactione descripta. et punctum Θ principium sit spiralis, linea autem $A\Theta$ principium circumactionis, linea autem EA secunda earum, quae in principio circumactionis sunt. et circulus AZH secundus sit, et $A\Gamma H$, ZI diametri eius inter se perpendiculares. rursus igitur recto angulo et sectore rectum angulum comprehendenti in partes aequales diuiso, quod relinquitur, minus erit dato spatio [Eucl. X, 1]. et ortus sit sector ΘKA dato spatio minor. angulis igitur rectis [quattuor] in angulos aequales angulo lineis $K\Theta$, ΘA comprehenso diuisis et ceteris eodem modo, quo antea, comparatis figura circumscripta excedet inscriptam spatio minore, quam est sector ΘKA. excedet enim spatio, quod est $\Theta KA \div \Theta EP$.



COROLLARIUM I.

Adparet igitur, fieri posse, ut figura circumscripta spatium sumptum excedat spatio minore, quam est quodlibet spatium datum, et rursus ut spatium sumptum figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium [p. 93 not. 1].

ΠΟΡΙΣΜΑ Β'.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου φανερόν, διότι δυνατὸν λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν λεγομένας περιγράψαι σχῆμα, οἷον εἰρήται, ἐπίπεδον, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ λαφθέντος χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράψαι, ὥστε τὸ λαφθὲν χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κγ'.

Λαβόντα τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος, ἅ ἐστιν ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, οὐκ ἐχούσας πέρας τὰν ἀρχὰν τᾶς ἕλικος, καὶ τᾶν εὐθειᾶν τᾶν ἀπὸ τῶν περάτων τᾶς ἕλικος ἀγομέναν δυνατόν ἐστι περὶ τὸ χωρίον σχῆμα ἐπίπεδον περιγράψαι ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγράψαι, ὥστε τὸ περιγραφὲν σχῆμα τοῦ ἐγγραφέντος μεῖζον εἶμεν ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔΕ, πέρατα δὲ αὐτᾶς τὰ Α, Ε, ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ Θ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΘ, ΘΕ. γεγράφθω δὴ κύκλος κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ, καὶ συμπιπτέτω τᾷ ΘΕ κατὰ τὸ Ζ. ἀεὶ δὴ τᾶς γωνίας τᾶς ποτὶ τῷ Θ καὶ τοῦ τομέως τοῦ ΘΑΖ δίχα τεμνομένων ἐσσεῖται τὸ καταλειπόμενον τοῦ προτεθέντος ἔλασσον. ἔστω ἐλάσσων ὁ τομεὺς ὁ ΘΑΚ τοῦ προτεθέντος. ὁμοίως

1. *πόρισμα β'*] mg. *Πορισμα* (comp.) F. 2. *διότι*] *ὅτι* Nizzius. 7. *ὥστε*] *εστω* per comp. F; corr. AB. 9. *καὶ*

COROLLARIUM II.

Et eadem ratione manifestum est, fieri posse, ut sumpto spatio comprehenso spirali qualibet circumactione descripta et linea eodem numero nominata earum, quae in principio circumactionis sunt, figura plana eius modi circumscribatur, ita ut figura circumscripta spatium sumptum excedat spatio minore, quam est quodlibet spatium datum, et rursus inscribatur, ita ut spatium sumptum figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium.

XXIIII.

Sumpto spatio comprehenso spirali, quae minor est spirali una circumactione descripta, sed cuius terminus non est principium spiralis, et lineis a terminis spiralis ductis fieri potest, ut circum id spatium figura plana circumscribatur et alia inscribatur ex similibus sectoribus compositae, ita ut figura circumscripta excedat inscriptam spatio minore, quam est quodlibet datum spatium.

sit spiralis, in qua sit $AB\Gamma\Delta E$, et termini eius A, E puncta, et principium spiralis sit Θ, et ducantur lineae $A\Theta$, ΘE. describatur igitur circulus, cuius centrum sit Θ, radius autem ΘA, et in lineam ΘE incidat in puncto Z. itaque angulo ad Θ posito et sectore ΘAZ semper deinceps in duas partes aequales

---

cum comp. ην uel ιν F. 12. κδ′ F. 14. εστι F, uulgo. 16. τοῦ πέρατος Riualtus, Torellius. 25. δή] scripsi; δε F, uulgo. τῷ] scripsi; το F, uulgo. 26. ἐσσεῖται] scripsi; εσται per comp. F, uulgo.

δὴ τοῖς πρότερον γεγράφθωσαν κύκλοι διὰ τῶν σαμείων, καθ' ἃ τέμνοντι τὰν ἕλικα αἱ τὰς ἴσας γωνίας ποιοῦσαι ποτὶ τῷ Θ, ὥστε τᾶν περιφερειᾶν ἑκάσταν συμπίπτειν τᾷ τε προαγουμένᾳ καὶ τᾷ ἑπομένᾳ. ἐσσεῖται δή τι περὶ τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς *ΑΒΓΔΕ* ἕλικος καὶ τᾶν *ΑΘ*, *ΘΕ* εὐθειᾶν περιγεγραμμένον σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον καὶ ἄλλο ἐγγεγραμμένον, καὶ τὸ περιγεγραμμένον τοῦ ἐγγεγραμμένου ἐλάσσονι ὑπερέχει τοῦ προτεθέντος χωρίου. ἐλάσσων γάρ ἐστιν ὁ *ΘΑΚ* τομεύς.



ΠΟΡΙΣΜΑ.

ἐκ τούτου φανερόν ἐστιν, ὅτι δυνατόν ἐστιν περὶ τὸ εἰρημένον χωρίον σχῆμα ἐπίπεδον, οἷον εἴρηται, περιγράψαι ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου, καὶ πάλιν ἐγγράψαι ὥστε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι παντὸς τοῦ προτεθέντος χωρίου.

κδ'.

Τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς πρώτας τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς τρίτον μέρος ἐστὶ τοῦ κύκλου τοῦ πρώτου.

---

2. τεμνουσιν την F; corr. Torellius. 3. τῷ] Torellius;

diuiso, quod relinquitur, minus erit spatio dato. sector $\Theta A K$ sit dato spatio minor. eodem igitur modo, quo antea, circuli describantur per ea puncta, in quibus lineae aequales angulos ad Θ punctum efficientes spiralem secant, ita ut unusquisque arcus et praecedenti lineae et sequenti occurrat. erit igitur circum spatium comprehensum spirali $AB\Gamma\Delta E$ et lineis $A\Theta$, ΘE figura plana circumscripta et alia inscripta ex similibus sectoribus compositae, et figura circumscripta excedit inscriptam spatio minore, quam est datum spatium. eo enim minor est sector $\Theta A K$.

COROLLARIUM.

Hinc manifestum est, fieri posse, ut circum spatium, quod commemorauimus, figura plana eiusmodi circumscribatur, ita ut figura circumscripta excedat spatium spatio minore, quam est quodlibet datum spatium, et rursus inscribatur, ita ut spatium illud figuram inscriptam excedat spatio minore, quam est quodlibet datum spatium [p. 93 not. 1].

XXIV.

Spatium comprehensum spirali prima circumactione descripta et linea prima earum, quae in principio circumactionis sunt, tertia pars est circuli primi.[1])

1) Hoc theorema suis uerbis propositum et propria ratione demonstratum habet Pappus IV, 34 p. 236—38.

τα F, uulgo. 4. εκαστα F; corr. Torellius. 7. περί] om. F; corr. Torellius. 14. ελασσ cum comp. ον F. 18. σχῆμα] addidi; om. F, uulgo. 21. καὶ πάλιν ad lin. 23 χωρίον om. F; corr. Riualtus. 24. κε' F.

ἔστω ἕλιξ, ἐφ' ἃς ἁ $ΑΒΓΔΕΘ$, ἐν τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα. ἔστω δὲ τὸ μὲν $Θ$ σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ $ΘΑ$ εὐθεῖα πρώτα τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς, ὁ δὲ $ΑΚΖΗΙ$ κύκλος πρῶτος, οὗ τρίτον μέρος ἔστω ὁ, ἐν ᾧ ϙ, κύκλος. δεικτέον, ὅτι ἴσον ἐστὶ τὸ προειρημένον χωρίον τῷ ϙ κύκλῳ.

εἰ γὰρ μή, ἤτοι μεῖζόν ἐστι ἢ ἔλασσον. ἔστω πρότερον, εἰ δυνατόν, ἔλασσον. δυνατὸν δή ἐστι περὶ τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς $ΑΒΓΔΕΘ$ ἕλικος καὶ τᾶς $ΑΘ$ εὐθείας περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα



μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ὁ ϙ κύκλος τοῦ εἰρημένου χωρίου. περιγεγράφθω δή, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν συγκεῖται τὸ εἰρημένον σχῆμα, μέγιστος μὲν ὁ $ΘΑΚ$, ἐλάχιστος δὲ ὁ $ΘΕΟ$. δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα ἔλασσόν ἐστι τοῦ ϙ κύκλου. ἐκβεβλήσθωσαν δὲ αἱ εὐθεῖαι αἱ ποτὶ τῷ $Θ$ ποιοῦσαι τὰς ἴσας γωνίας, ἔστ' ἂν ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι. ἐντὶ δή τινες γραμμαὶ αἱ ἀπὸ τοῦ $Θ$ ποτὶ τὰν ἕλικα ποτιπιπτοῦσαι τῷ ἴσῳ ἀλλάλαν ὑπερεχοῦσαι, ἂν ἐστι μεγίστα μὲν ἁ

3. τᾶν] addidi; om. F, uulgo. 4. $ΑΚΖΗΙ$] $ΑΝΖΗΙ$ supra scripto $Κ$ manu, ut uidetur, 2 F. 5. ὁ] addidi; om. F, uulgo.

sit spiralis, in qua sit $AB\Gamma\Delta E\Theta$, prima circumactione descripta. et punctum Θ principium sit spiralis, linea autem ΘA prima earum, quae in principio circumactionis sunt, et $AKZHI$ circulus primus, cuius tertia pars sit circulus, in quo est littera ϙ. demonstrandum, spatium illud circulo ϙ aequale esse.

nam si non est, aut maius est aut minus. sit prius, si fieri potest, minus. fieri igitur potest, ut circum spatium comprehensum spirali $AB\Gamma\Delta E\Theta$ et linea $A\Theta$ figura plana circumscribatur ex similibus sectoribus composita, ita ut figura circumscripta spatium excedat spatio minore, quam excessus est, quo circulus ϙ spatium illud excedat [prop. 21]. circumscribatur igitur, et sectorum, ex quibus figura illa composita est, maximus sit ΘAK, minimus autem ΘEO. adparet igitur, figuram circumscriptam minorem esse circulo ϙ.[1]) producantur igitur lineae, quae ad punctum Θ aequales angulos efficiunt, usque eo, ut ad ambitum circuli perueniant. sunt igitur lineae quaedam, eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt, aequali spatio inter se excedentes, qua-

1) Sit spatium illud R, figura autem circumscripta F; tum erit ex hypothesi $F - R <$ ϙ $- R$ ↄ: $F <$ ϙ.

11. *συγκείμενον*] om. F; corr. Torellius. 21. *ὅτι*] comp. F. 24. *αἱ*] (prius) addidi; om. F, uulgo. *αἱ*] om. F; corr. Torellius. 25. *ποτί*] *προς* per comp. F; corr. Torellius. *τῷ*] scripsi; *το* F, uulgo. 28. *αἱ*] addidi; om. F, uulgo. 29. *ων* F, uulgo. *μεγίστα*] scripsi; *μειζων* F, uulgo.

ΘΑ, ἐλαχίστα δὲ ἁ *ΘΕ*, καὶ ἁ ἐλαχίστα ἴσα τᾷ ὑπεροχᾷ. ἐντὶ δὲ καὶ ἄλλαι τινὲς γραμμαὶ αἱ ἀπὸ τοῦ *Θ* ποτὶ τὰν περιφέρειαν τοῦ κύκλου ποτιπιπτούσαι τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ, καὶ ἀναγεγραφάται ἀπὸ πασᾶν ὁμοίοι τομέες, ἀπό τε τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν καὶ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ. οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ἐλασσόνες ἐντὶ ἢ τριπλασίοι τῶν τομέων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν. δεδείκται γὰρ τοῦτο. ἐντὶ δὲ οἱ μὲν τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ἴσοι τῷ *ΑΖΗΙ* κύκλῳ, οἱ δὲ τομέες οἱ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν ἴσοι τῷ περιγεγραμμένῳ σχήματι. ἐλάσσων ἄρα ὁ *ΑΖΗΙ* κύκλος τοῦ περιγεγραμμένου σχήματος ἢ τριπλασίων· τοῦ δὲ ϙ κύκλου τριπλασίων. ἐλάσσων ἄρα ὁ ϙ κύκλος τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων. οὐκ ἄρα ἐστὶν τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς *ΑΒΓΔΕΘ* ἕλικος καὶ τᾶς *ΑΘ* ἔλασσον τοῦ ϙ χωρίου.

οὐδὲ τοίνυν μεῖζον. ἔστω γάρ, εἰ δυνατόν, μεῖζον. ἔστι δὴ πάλιν δυνατὸν εἰς τὸ χωρίον τὸ περιεχόμενον ὑπὸ τᾶς *ΑΒΓΔΕΘ* ἕλικος καὶ τᾶς *ΑΘ* εὐθείας ἐγγράψαι σχῆμα, ὥστε τὸ εἰρημένον χωρίον τοῦ ἐγγραφέντος σχήματος μεῖζον εἶμεν ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ εἰρημένον χωρίον τοῦ ϙ κύκλου. ἐγγεγράφθω δή,

1. ἐλαχίστα] (prius) scripsi; ελασσων F, uulgo; u. Quaest. Arch. p. 138. 2. αἱ] addidi; om. F, uulgo. 5. ἀναγεγραφάται] scripsi; αναγεγραπται F, uulgo; defendit Ahrens: de gr. ling. dial. II p. 333. πασων F; corr. V. 9. αλλαλα F. 14. *ΑΖΗΙ*] scripsi; *ΑΖΗΙΚ* F, uulgo; „afgi" Cr. 19. χωρίου] κύκλου Torellius. 20. κϛ' F. 22. *ΑΒΓΔΘ* F; corr. Torellius.

rum maxima est ΘA, minima autem ΘE, et minima excessui aequalis est.[1]) sed etiam aliae lineae sunt, eae scilicet, quae a puncto Θ ad circuli ambitum ductae sunt, numero illis aequales, magnitudine autem singulae aequales maximae, et in omnibus similes sectores constructi sunt, et in iis, quae aequali spatio inter se excedunt, et in iis, quae inter se et maximae aequales sunt. sectores igitur in lineis maximae aequalibus constructi minores sunt, quam triplo maiores sectoribus in lineis aequali spatio inter se excedentibus constructis. hoc enim demonstratum est [prop. 10 coroll. 3]. sed sectores in lineis inter se et maximae aequalibus constructi aequales sunt circulo $AZHI$, sectores autem in lineis aequali spatio inter se excedentibus constructi aequales sunt figurae circumscriptae. itaque circulus $AZHI$ minor est quam triplo maior figura circumscripta; circulo autem ϙ triplo maior est. itaque circulus ϙ minor est figura circumscripta. erat autem non minor, sed maior. quare spatium comprehensum spirali $AB\Gamma\Delta E\Theta$ et linea $A\Theta$ minus non est spatio ϙ.

sed ne maius quidem est. sit enim, si fieri potest, maius. itaque rursus fieri potest, ut spatio comprehenso spirali $AB\Gamma\Delta E\Theta$ et linea $A\Theta$ figura inscribatur, ita ut spatium, quod commemorauimus, figuram inscriptam excedat spatio minore, quam quanto spatium illud circulum ϙ excedit [prop. 21 coroll.].

1) Lineas ΘE, $\Theta\Delta$, $\Theta\Gamma$, ΘB cett. aequali spatio inter se excedere, adparet ex prop. 12, quia angulos aequales faciunt. lineam autem ΘE excessui aequalem esse, siue $\Theta E = \frac{1}{2}\Theta\Delta$, sequitur ex prop. 1; nam cum anguli aequales sint, tempus tempore duplo maius est.

καὶ ἔστω τῶν τομέων, ἐξ ὧν συγκεῖται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΡΞ, ἐλάχιστος δὲ ὁ ΟΘΕ. δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ ϛ κύκλου. ἐκβεβλήσθωσαν δὴ αἱ ποιοῦσαι τὰς ἴσας γωνίας ποτὶ τῷ Θ, ἔστ' ἂν ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπιπτούσαι, ἅν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ,[1] καί ἐστιν ἁ ἐλαχίστα ἴσα τᾷ ὑπεροχᾷ. ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΑΖΗΙ κύκλου περιφέρειαν ποτιπιπτούσαι τῷ μὲν πλήθει ἴσαι ταύταις, τῷ δὲ μεγέθει ἑκάστα ἴσα τᾷ μεγίστᾳ, καὶ ἀναγεγραφόνται ἀπὸ πασᾶν ὁμοίοι τομέες ἀπό τε τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν. οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ μειζόνες ἐντὶ ἢ τριπλασίοι τῶν τομέων τῶν ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας. δεδείκται γὰρ τοῦτο. ἐντὶ δὲ οἱ μὲν τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ἴσοι τῷ ΑΖΗΙ κύκλῳ, οἱ δὲ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας ἴσοι



2. ἐλάχιστος] B; ελασσων F, uulgo. 3. ΟΘΕ] scripsi; ΘΕ F, uulgo; ΘΕΟ Torellius. οὖν] per comp. F. ὅτι]

inscribatur igitur, et sectorum, ex quibus composita est figura inscripta, maximus sit $\Theta P\Xi$, minimus autem $O\Theta E$. adparet igitur, figuram inscriptam maiorem esse circulo ϙ.[1]) producantur igitur lineae ad punctum Θ aequales angulos efficientes usque eo, ut ad ambitum circuli perueniant. rursus igitur lineae quaedam sunt aequali spatio inter se excedentes, eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE, et minima excessui aequalis est [p. 103 not. 1]. et praeterea aliae quoque lineae sunt, quae a puncto Θ ad ambitum circuli $AZHI$ ductae sunt, numero illis aequales, magnitudine autem singulae maximae aequales, et in omnibus sectores similes constructi sunt, et in iis, quae inter se et maximae aequales sunt, et in iis, quae aequali spatio inter se excedunt. sectores igitur in lineis maximae aequalibus constructi maiores sunt quam triplo maiores sectoribus in lineis aequali spatio inter se excedentibus constructis praeter sectorem in maxima constructum. hoc enim demonstratum est [prop. 10 coroll.]. sed sectores in lineis maximae aequalibus constructi aequales sunt circulo $AZHI$, sectores autem in lineis aequali spatio inter se excedentibus constructi praeter sectorem in maxima con-

1) Sit figura inscripta f, spatium illud R; erit ex hypothesi $R - f < R -$ ϙ ↄ: $f >$ ϙ.

om. F; corr. B. 5. τῷ] scripsi; το F, uulgo. 7. αἱ] addidi; om. F, uulgo. 8. ων F, uulgo. 11. ἄλλαι τινές Torellius. αἱ] addidi; om. F, uulgo. 17. ἀναγεγραφάται B. 29. ἀπό] ὕπο F; corr. Torellius.

τῷ ἐγγεγραμμένῳ σχήματι. μείζων ἄρα ὁ *ΑΖΗΙ* κύκλος ἢ τριπλασίων τοῦ ἐγγεγραμμένου σχήματος· τοῦ δὲ ϙ κύκλου τριπλασίων. μείζων ἄρα ἐστὶν ὁ ϙ κύκλος τοῦ ἐγγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ ἐλάσσων. οὐκ ἄρα ἐστὶν οὐδὲ μεῖζον τὸ χωρίον τὸ ὑπό τε τᾶς *ΑΒΓΔΕΘ* ἕλικος καὶ τᾶς *ΑΘ* εὐθείας τοῦ ϙ κύκλου. ἴσον ἄρα ἐστὶν [τῷ περιλαφθέντι ὑπὸ τᾶς ἕλικος καὶ τᾶς *ΑΘ* εὐθείας].

κε'.

Τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς δευτέρας τᾶν ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ποτὶ τὸν δεύτερον κύκλον τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει τὰ ζ' ποτὶ τὰ ιβ', ὅς ἐστιν ὁ αὐτὸς τῷ, ὃν ἔχει τὰ συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου καὶ τᾶς ἐκ τοῦ κέντρου τοῦ πρώτου κύκλου καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου τᾶς ἐκ τοῦ κέντρου τοῦ πρώτου κύκλου ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ δευτέρου κύκλου.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ *ΑΒΓΔΕ*, ἐν τᾷ δευτέρᾳ περιφορᾷ γεγραμμένα. ἔστω δὲ τὸ μὲν *Θ* σαμεῖον ἀρχὰ τᾶς ἕλικος, ἁ δὲ *ΘΕ* εὐθεῖα ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ἁ πρώτα, ἁ δὲ *ΑΕ* ἐν τᾷ ἀρχᾷ τᾶς περιφορᾶς ἁ δευτέρα, ὁ δὲ κύκλος ὁ *ΑΖΗΙ* ὁ δεύτερος ἔστω, καὶ αἱ *ΑΗ*, *ΙΖ* διαμέτροι ποτ' ὀρθὰς ἀλλάλαις. δεικτέον, ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς *ΑΒΓΔΕ*

---

6. *ΑΒΗΕΘ* F. 7. ἴσος Torellius; sed de spatio agitur, non de circulo;] quare retinendum ἴσον (comp. F) et delenda

structum aequales sunt figurae inscriptae. itaque circulus $AZHI$ maior est quam triplo maior figura inscripta; sed circulo ϙ triplo maior est. quare circulus ϙ maior est figura inscripta. sed maior non est, uerum minor. itaque ne maius quidem circulo ϙ erit spatium comprehensum spirali $AB\Gamma\Delta E\Theta$ et linea $A\Theta$. itaque aequale est.

XXV.

Spatium comprehensum spirali secunda circumactione descripta et linea secunda earum, quae in principio circumactionis sunt, ad circulum secundum eam habet rationem, quam 7 : 12, quae eadem est ratio, quam habet rectangulum comprehensum radio secundi circuli et radio primi una cum tertia parte quadrati eius excessus, quo radius secundi circuli radium primi excedit, ad quadratum radii secundi circuli.

sit spiralis, in qua sit $AB\Gamma\Delta E$, secunda circumactione descripta. et punctum Θ principium sit spiralis, linea autem ΘE prima earum, quae in principio circumactionis sunt, AE autem secunda; et circulus $AZHI$ secundus sit, et AH, IZ diametri inter se perpendiculares. demonstrandum, spatium spirali

---

uerba τῷ περιλαφθέντι . . εὐθείας lin. 7—8; om. Cr. 9. κζ′ F. 10. τὸ περιλαφθέν] addidi; om. F, uulgo. 16. δευτέρου] $\bar{\beta}$ F; et sic saepius infra (uelut lin. 17, 19 bis, 21). 27. προς (comp.) ορθας αλληλαις F; corr. Torellius.

ἕλικος καὶ τᾶς *ΑΕ* εὐθείας ποτὶ τὸν *ΑΖΗΙ* κύκλον λόγον ἔχει, ὃν τὰ ζ′ ποτὶ ιβ′.

ἔστω δή τις κύκλος ὁ ϙ, ἁ δὲ ἐκ τοῦ κέντρου τοῦ ϙ κύκλου δυνάμει ἴσα τῷ τε ὑπὸ τᾶν *ΑΘ*, *ΘΕ* περιεχομένῳ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς *ΑΕ* τετραγώνου. ἕξει δὴ ὁ ϙ κύκλος ποτὶ τὸν *ΑΗΖΙ*, ὡς ζ′ ποτὶ ιβ′, διότι καὶ ἁ ἐκ τοῦ κέντρου αὐτοῦ ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ *ΑΖΗΙ* κύκλου τοῦτον ἔχει δυνάμει τὸν λόγον. δειχθησέται οὖν ἴσος ὁ ϙ κύκλος τῷ περιεχομένῳ χωρίῳ ὑπό τε τᾶς *ΑΒΓΔΕ* ἕλικος καὶ τᾶς *ΑΕ* εὐθείας. εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάττων. ἔστω δὴ πρότερον, εἰ δυνατόν, μείζων. δυνατὸν δή ἐστι περὶ τὸ χωρίον περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφὲν σχῆμα μεῖζον εἶμεν τοῦ χωρίου ἐλάσσονι, ἢ ᾧ ὑπερέχει ὁ ϙ κύκλος τοῦ χωρίου. περιγεγράφθω, καὶ ἔστω, ἐξ ὧν συγκείται τὸ περιγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ *ΘΑΚ* τομεὺς, ἐλάχιστος δὲ ὁ *ΘΟΔ*. δῆλον οὖν, ὅτι τὸ περιγραφὲν σχῆμα ἔλαττόν ἐστι τοῦ κύκλου. ἐκβεβλήσθωσαν αἱ εὐθεῖαι αἱ ποιοῦσαι ποτὶ τῷ *Θ* ἴσας γωνίας, ἔστ' ἂν ποτὶ τὰν



2. προς per comp. F; corr. Torellius. 3. ϙ] ϛ semper ed. Basil., Torellius. 6. προς per comp. F; corr. Torellius.

$AB\Gamma\Delta E$ et linea AE comprehensum ad circulum $AZHI$ eam rationem habere, quam $7:12$.

sit igitur circulus quidam ϙ, et radius eius quadratus sit $= A\Theta \times \Theta E + \frac{1}{3} AE^2$. itaque circulus ϙ ad circulum $AHZI$ eam rationem habebit, quam $7:12$, quia radius eius quadratus ad radium circuli $AZHI$ quadratum hanc rationem habet [Eucl. XII, 2].[1]) demonstrabimus igitur, circulum ϙ aequalem esse spatio comprehenso spirali $AB\Gamma\Delta E$ et linea AE. nam si aequalis non est, aut maior est aut minor. sit igitur, si fieri potest, prius maior. fieri igitur potest, ut circum spatium circumscribatur figura plana ex similibus sectoribus composita, ita ut figura circumscripta spatium excedat spatio minore, quam quanto circulus ϙ spatium excedit [prop. 22]. circumscribatur, et [sectorum], ex quibus composita est figura circumscripta, maximus sit ΘAK, minimus autem $\Theta O\Delta$. adparet igitur, figuram circumscriptam minorem esse circulo [p. 101 not. 1]. producantur lineae ad punctum Θ aequales angulos efficientes, usque eo ut ad ambitum

1) Nam $A\Theta \times \Theta E + \frac{1}{3} AE^2 : A\Theta^2 = 2\Theta E^2 + \frac{1}{3}\Theta E^2 : 4\Theta E^2 = 6\Theta E^2 + \Theta E^2 : 12\Theta E^2 = 7:12$, quia $\Theta E = AE$; nam sit ambitus circuli primi p; erit ex prop. 15: $\Theta E : \Theta A = p : 2p$.

ut lin. 7 bis. 23. περεχει F. 25. ἔστω τῶν τομέων Torellius. 28. τοῦ ϙ κύκλου Nizzius. 29. τῷ] scripsi; το F, uulgo. In figura O, Δ cum F posui; sed pro Δ posui A, et Γ addidi.

τοῦ δευτέρου κύκλου περιφέρειαν πεσῶντι. ἐντὶ δή τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπιπτούσαι, ἅν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΑΖΗΙ κύκλου περιφέρειαν ποτιπιπτούσαι, τῷ μὲν πλήθει μιᾷ ἐλασσόνες ταυτᾶν, τῷ δὲ μεγέθει ἀλλάλαις τε ἴσαι καὶ τᾷ μεγίστᾳ, καὶ ἀναγεγραφάται ὁμοίοι τομέες ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, ἀπὸ δὲ τᾶς ἐλαχίστας οὐκ ἀναγραφέται. οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας ἐλάσσονα λόγον ἔχοντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μεγίστας τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ περιχόμενον καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΑ τετραγώνου. δεδείκται γὰρ τοῦτο. ἐντὶ δὲ τοῖς μὲν τομέεσσι τοῖς ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις καὶ τᾷ μεγίστᾳ ἴσος ὁ ΑΖΗΙ κύκλος, τοῖς δὲ τομέεσσι τοῖς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας ἴσον τὸ περιγεγραμμένον σχῆμα. ἐλάσσονα ἄρα λόγον ἔχει ὁ κύκλος ποτὶ τὸ περιγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΑΘ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τῶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνου. ὃν δὲ λόγον ἔχει τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὸ ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνου, τοῦτον ἔχει ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸν Ϙ κύκλον. ἐλάσσονα

---

3. ποτιπιπτουσιν F; corr. B. ων F, uulgo. 5. ποτί] scripsi; επι F, uulgo. 6. ελασσ cum comp. ων F; corr. Torellius; ἐλάσσους B. 7. ταυτᾶν] scripsi; εαυταν F, uulgo.

circuli secundi perueniant. sunt igitur lineae quaedam aequali spatio inter se excedentes [prop. 12], eae scilicet, quae a puncto Θ ad spiralem ductae sunt, quarum maxima est ΘA, minima autem ΘE. sed etiam aliae lineae sunt, quae a puncto Θ ad ambitum circuli $AZHI$ ductae sunt, numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, et constructi sunt sectores similes in lineis maximae aequalibus et in iis, quae aequali spatio inter se excedunt, in minima autem nullus constructus est. itaque sectores in lineis maximae aequalibus constructi ad sectores in lineis aequali spatio inter se excedentibus constructos praeter sectorem in minima constructum minorem rationem habent, quam habet

$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EA^2.$$

hoc enim demonstratum est [prop. 11 coroll.]. sed sectoribus in lineis inter se et maximae aequalibus constructis aequalis est circulus $AZHI$, sectoribus autem in lineis aequali spatio inter se excedentibus constructis praeter sectorem in minima constructum aequalis est figura circumscripta. itaque circulus [$AZHI$] ad figuram circumscriptam minorem rationem habet, quam $A\Theta^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} AE^2$. est autem

$$AZHI : \mathrm{q} = \Theta A^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} AE^2$$

[Eucl. V, 7 *πόρισμα*]. quare circulus $AZHI$ ad figu-

ἀλλάλαις] *λαι* supra scriptum manu 1 F. 8. *ἀναγεγράφονται* Torellius. 10. *αναγραψεται* F. 12. *αλλαν* F. 14. *μεγίστας*] *μ* supra scriptum manu 1 F. 17. *τομέεσσι*] scripsi; *τομεσσι* F; *τομέσι* ed. Basil., uulgo; *τομεῦσι* Torellius. 18. *αλλαλας* F; corr. A. AZH F; corr. B. 19. *τομεσιν* F; *τομεῦσι* Torellius. 21. *ὁ κύκλος* $AHZI$ (debuit *ὁ* $AHZI$ *κύκλος*) Torellius; habet Cr. 26. ΘE] scripsi; ΔE F; AE uulgo. 28. *προς* per comp. F; corr. Torellius.

οὖν λόγον ἔχει ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸ περιγεγραμμένον σχῆμα ἢ ποτὶ τὸν ϙ κύκλον. ὥστε ἐλάσσων ἐστὶν ὁ ϙ κύκλος τοῦ περιγεγραμμένου σχήματος. οὐκ ἔστι δέ, ἀλλὰ μείζων. οὐκ ἄρα μείζων ἐστὶν ὁ ϙ κύκλος τοῦ χωρίου τοῦ περιεχομένου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶς ΑΕ εὐθείας.

οὐδὲ τοίνυν ἐλάσσων. ἔστω γάρ, εἰ δυνατόν, ἐλάσσων. πάλιν οὖν δυνατόν ἐστιν εἰς τὸ χωρίον τὸ περιεχόμενον ὑπό τε τᾶς ἕλικος καὶ τᾶς ΑΕ εὐθείας ἐγγράψαι σχῆμα ἐπίπεδον ὑπὸ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶς ΑΕ εὐθείας μεῖζον εἶμεν τοῦ ἐγγεγραμμένου σχήματος ἐλάσσονι, ἢ ᾧ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ ϙ κύκλου. ἐγγεγράφθω οὖν, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν συγκεῖται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΚΡ τομεύς, ἐλάχιστος δὲ ὁ ΘΕΟ. δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ ϙ κύκλου. ἐκβεβλήσθωσαν αἱ ποιοῦσαι ἴσας γωνίας ποτὶ τῷ Θ, ἔστ' ἂν ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν πεσῶντι. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερεχοῦσαι αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπιπτοῦσαι, ἂν μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. ἐντὶ δὲ καὶ ἄλλαι γραμ-



7. κη' F. 23. ΘΚΡ] supra scriptum X manu, ut uide-

ram circumscriptam minorem rationem habet quam ad circulum Ϙ. quare circulus Ϙ minor est figura circumscripta [Eucl. V, 10]. sed non est minor, uerum maior. itaque circulus Ϙ maior non est spatio comprehenso spirali *ΑΒΓΔΕ* et linea *ΑΕ*.

sed ne minor quidem est. sit enim, si fieri potest, minor. rursus igitur fieri potest, ut spatio comprehenso spirali et linea *ΑΕ* figura plana inscribatur ex similibus sectoribus composita, ita ut spatium comprehensum spirali *ΑΒΓΔΕ* et linea *ΑΕ* figuram inscriptam excedat spatio minore, quam quanto idem spatium circulum Ϙ excedit [prop. 22 coroll.]. inscribatur igitur, et sectorum, ex quibus figura inscripta composita est, maximus sit *ΘΚΡ*, minimus autem *ΘΕΟ*. adparet igitur, figuram inscriptam maiorem esse circulo Ϙ [p. 105 not. 1]. producantur lineae ad punctum *Θ* aequales angulos efficientes usque eo, ut ad ambitum circuli perueniant. rursus igitur lineae quaedam sunt aequali spatio inter se excedentes, eae scilicet, quae a puncto *Θ* ad spiralem ductae sunt [prop. 12], quarum maxima est *ΘΑ*, minima autem *ΘΕ*. sed

---

tur, 1 F. 26. πρoς per comp. F; corr. Torellius. τῷ] scripsi; τo F, uulgo. 29. ωv F, uulgo.

καὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ κύκλου περιφέρειαν ποτιπιπτούσαι τῷ μὲν πλήθει μιᾷ ἐλάσσους ταυτᾶν, τῷ δὲ μεγέθει ἴσαι ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ, καὶ ἀναγεγραφάται ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν ὁμοίοι τομέες καὶ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ. οἱ ἄρα τομέες οἱ ἀπὸ τᾶν ἰσᾶν τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα λόγον ἔχοντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον τοῦ ἀπὸ τᾶς ΕΑ τετραγώνου. ἔστιν δὲ τοῖς μὲν τομέεσσιν τοῖς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας ἴσον τὸ ἐγγεγραμμένον σχῆμα ἐν τῷ χωρίῳ, τοῖς δὲ ἑτέροις ὁ κύκλος. μείζονα οὖν λόγον ἔχει ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὸ ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΕ τετραγώνου, τουτέστιν ὁ ΑΖΗΙ κύκλος ποτὶ τὸν ϙ κύκλον. μείζων ἄρα ἐστὶν ὁ ϙ κύκλος τοῦ ἐγγεγραμμένου σχήματος· ὅπερ ἀδύνατον· ἦν γὰρ ἐλάσσων. οὐκ ἄρα ἐστὶν οὐδὲ ἐλάσσων ὁ ϙ κύκλος τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶς ΑΕ εὐθείας. ὥστε ἴσος.

ΠΟΡΙΣΜΑ.

διὰ δὲ τοῦ αὐτοῦ τρόπου δειχθησέται, καὶ διότι τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας καὶ τᾶς εὐθείας τᾶς κατὰ τὸν αὐτὸν ἀριθμὸν ταῖς περιφοραῖς λεγομένας

---

2. μιαν F; corr. B*. ταυτᾶν] scripsi; ταυτη F; αὐτῇ AB, ed. Basil.; ἑαυτᾶν Torellius. 3. αλληλαις F. 4. ἀναγεγράφονται

etiam aliae lineae sunt, quae a puncto Θ ad ambitum circuli ductae sunt, numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, et sectores similes constructi sunt et in lineis aequali spatio inter se excedentibus et in lineis maximae aequalibus. itaque sectores in lineis maximae aequalibus constructi ad sectores in lineis aequali spatio inter se excedentibus constructos praeter sectorem in maxima constructum maiorem rationem habent, quam

$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EA^2$$ [prop. 11 coroll.].

sectoribus autem in lineis aequali spatio inter se excedentibus constructis praeter sectorem in maxima constructum aequalis est figura spatio inscripta, alteris autem circulus. itaque circulus $AZHI$ ad figuram inscriptam maiorem rationem habet, quam

$$A\Theta^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} AE^2,$$

h. e. quam $AZHI$: ϙ [ex hypothesi]. itaque circulus ϙ maior est figura inscripta [Eucl. V, 10]; quod fieri non potest; erat enim minor. itaque circulus ϙ ne minor quidem est spatio comprehenso spirali $AB\Gamma\Delta E$ et linea AE. quare aequalis est.

COROLLARIUM.

Eadem autem ratione demonstrabimus, etiam spatium comprehensum spirali qualibet circumactione descripta et linea eodem numero nominata, quo circumactiones, ad circulum nominatum eodem numero, quo

---

Torellius. 10. ὑπό] scripsi; υπο τε F, uulgo. τρίτον μέρος B, Torellius. 11. τομευσιν F, uulgo. 13. ἀπό] ὑπο F; corr. Torellius. 16. προς per comp. F; corr. Torellius, ut lin. 18. τᾶν] των per comp. F; corr. Torellius. 19. μειζον F. 25. διότι] ὅτι Nizzius. 28. κατά] scripsi; ποτι F, uulgo.

ποτὶ τὸν κύκλον τὸν κατὰ τὸν αὐτὸν ἀριθμὸν λεγόμενον ταῖς περιφοραῖς λόγον ἔχει, ὃν συναμφότερον τό τε ὑπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ κατὰ τὸν αὐτὸν ἀριθμὸν κύκλου καὶ τᾶς ἐκ τοῦ κέντρου τοῦ κατὰ τὸν ἑνὶ ἐλάσσονα τᾶν περιφορᾶν λεγομένου καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου τῶν εἰρημένων ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τῶν εἰρημένων.

κϛ'.

Τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ἕλικος, ἅ ἐστιν ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, οὐκ ἐχούσας πέρας τὰν ἀρχὰν τᾶς ἕλικος καὶ τᾶν εὐθειᾶν τᾶν ἀπὸ τῶν περάτων αὐτᾶς ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν ποτὶ τὸν τομέα τὸν ἔχοντα τὰν μὲν ἐκ τοῦ κέντρου ἴσαν τᾷ μείζονι τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν, τὰν δὲ περιφέρειαν, ἅ ἐστι μεταξὺ τᾶν εἰρημέναν εὐθειᾶν ἐπὶ τὰ αὐτὰ τᾷ ἕλικι, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα τό τε περιεχόμενον ὑπὸ τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἀγμέναν καὶ τὸ τρίτον μέρος τοῦ τετραγώνου τοῦ ἀπὸ τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ μείζων τᾶν εἰρημέναν εὐθειᾶν τᾶς ἐλάσσονος, ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μείζονος τᾶν ἀπὸ τῶν περάτων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος ἐπιζευχθεισᾶν.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ $ΑΒΓΔΕ$, ἐλάσσων τᾶς ἐν μιᾷ περιφορᾷ γεγραμμένας, πέρατα δὲ αὐτᾶς ἔστω τὰ

4. τὸν ἑνί] scripsi; τα μεν ενι F; μεν ενι C*D; μενι V; τα μεν A, ed. Basil.; τῷ μὲν ἑνί B*, Torellius. 8. τᾶς

circumactiones, eam rationem habere, quam rectangulum comprehensum radio circuli eodem numero nominati et radio circuli numero uno minore, quam numerus circumactionum est, nominati simul cum tertia parte quadrati eius excessus, quo radius circuli maioris radium circuli minoris eorum, quos commemorauimus, excedit, ad quadratum radii circuli maioris eorum, quos commemorauimus.

XXVI.

Spatium comprehensum spirali, quae minor est spirali una circumactione descripta, et cuius terminus non est principium spiralis, et lineis a terminis eius ad principium spiralis ductis ad sectorem, cuius radius aequalis est maiori linearum a terminis ad principium spiralis ductarum, arcus autem arcui inter lineas illas posito ad eandem partem uersus, in qua est spiralis, eam rationem habet, quam habet rectangulum lineis a terminis ad principium spiralis ductis comprehensum simul cum tertia parte quadrati eius excessus, quo maior linearum, quas commemorauimus, minorem excedit, ad quadratum maioris linearum a terminis ad principium spiralis ductarum.

sit spiralis, in qua sit *ΑΒΓΔΕ*, minor spirali una circumactione descripta, et termini eius sint *Α*, *Ε*.

ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου τῶν εἰρημένων mg. F manu 1, adposito signo ◁, quo ad suum locum referantur; om. ed. Basil. 11. *κθ'* F. 16. *του* (comp.) *περατος* F; corr. Torellius. 20. *ἐστι τα* FV; fort. scrib. *περιφέρειαν ἴσαν τᾷ μεταξύ*. 25. *των* (comp.) *ειρημενων ευθειων* F; corr. Torellius.

Α, Ε. ἔστω δὲ ἀρχὰ τᾶς ἕλικος τὸ Θ σαμεῖον. καὶ κέντρῳ μὲν τῷ Θ, διαστήματι δὲ τῷ ΘΑ κύκλος γεγράφθω, καὶ συμπιπτέτω τᾷ περιφερείᾳ αὐτοῦ ἁ ΘΕ κατὰ τὸ Ζ. δεικτέον, ὅτι τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν εὐθειᾶν τᾶν ΑΘ, ΘΕ ποτὶ τὸν τομέα τὸν ΑΘΖ τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ ποτὶ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ.

ἔστω δὴ κύκλος, ἐν ᾧ ϛΧ, τὰν ἐκ τοῦ κέντρου ἔχων ἴσαν δυνάμει τῷ τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ΕΖ, ποτὶ δὲ τῷ κέντρῳ αὐτοῦ γωνία ἴσα τᾷ ποτὶ τῷ Θ. ὁ δὴ τομεὺς ὁ ϛΧ



ποτὶ τὸν τομέα τὸν ΘΑΖ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει τὸ ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ τετραγώνου ποτὶ τὸ ἀπὸ τᾶς ΘΑ τετράγωνον· αἱ



γὰρ ἐκ τῶν κέντρων τοῦτον ἔχοντι τὸν λόγον δυνάμει ποτ' ἀλλάλας. δειχθησέται δὴ ὁ Χϛ τομεὺς ἴσος ἐὼν τῷ χωρίῳ τῷ περιεχομένῳ ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν. εἰ γὰρ μή, ἤτοι μείζων ἐστὶν ἢ ἐλάττων. ἔστω δὴ πρότερον, εἰ δυνατόν, μείζων. δυνατὸν οὖν ἐστι περὶ τὸ

---

2. τῷ] (bis) το F; corr. Torellius. 12. τῷ] scripsi cum BC*D; το F, uulgo. κέντρον A, ed. Basil., Torellius.

principium autem spiralis sit Θ punctum. et describatur circulus, cuius centrum sit Θ, radius autem ΘA, et linea ΘE in ambitum eius incidat in puncto Z. demonstrandum, spatium comprehensum spirali $AB\Gamma\Delta E$ et lineis $A\Theta$, ΘE ad sectorem $A\Theta Z$ eam habere rationem, quam $A\Theta \times \Theta E + \frac{1}{3}EZ^2 : \Theta A^2$.

sit igitur circulus, in quo sit $\text{ϙ}X$, cuius radius quadratus aequalis sit $A\Theta \times \Theta E + \frac{1}{3}EZ^2$, et ad centrum eius angulus ponatur aequalis angulo ad Θ posito. itaque sector $\text{ϙ}X$ ad sectorem ΘAZ eandem rationem habet, quam $A\Theta \times \Theta E + \frac{1}{3}EZ^2 : \Theta A^2$; nam radii quadrati hanc inter se rationem habent.[1]) demonstrabimus igitur, sectorem $X\text{ϙ}$ aequalem esse spatio spirali $AB\Gamma\Delta E$ et lineis $A\Theta$, ΘE comprehenso. nam si aequalis non est, aut maior est aut minor. prius igitur, si fieri potest, maior sit. itaque fieri potest, ut circum spatium, quod commemorauimus, figura

1) Nam sectores similes, siue quorum anguli aequales sunt, eam rationem habent, quam circuli; tum u. Eucl. XII, 2. cfr. Zeitschr. f. Math., hist. Abth. XXIV p. 181 nr. 14.

13. προς per comp. F; corr. Torellius. 21. εχωντι F. 23. ων F, uulgo. 27. ἐστίν] addidi; om. F, uulgo; post ἐλάττων inseruit Torellius. 28. δή] scripsi; γαρ F, uulgo.

εἰρημένου χωρίου περιγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ περιγραφόμενον σχῆμα μεῖζον εἶμεν τοῦ εἰρημένου χωρίου ἐλάσσονι, ἢ ἀλίκῳ ὑπερέχει ὁ ϞΧ τομεὺς τοῦ εἰρημένου χωρίου. περιγεγράφθω δή, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν συγκεῖται τὸ περιγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΑΚ, ἐλάχιστος δὲ ὁ ΘΟΔ. δῆλον οὖν, ὅτι τὸ περιγεγραμμένον σχῆμα ἔλασσόν ἐστι τοῦ ΧϞ τομέως. διάχθωσαν δὴ αἱ εὐθεῖαι αἱ ποιοῦσαι τὰς ἴσας γωνίας ποτὶ τῷ Θ, ἔστ' ἂν ποτὶ τὰν περιφέρειαν τοῦ ΘΑΖ τομέως πεσῶντι. ἐντὶ δή τινες εὐθεῖαι τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν ἕλικα ποτιπιπτούσαι, ἂν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. ἐντὶ δὲ καὶ ἄλλαι εὐθεῖαι τῷ μὲν πλήθει μιᾷ ἐλασσόνες ταυτᾶν, τῷ δὲ μεγέθει ἴσαι ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ, αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΑΘΖ τομέως περιφέρειαν ποτιπιπτούσαι χωρὶς τᾶς ΘΖ, καὶ ἀναγεγράφαται ὁμοίοι τομέες ἀπὸ πασᾶν ἀπό τε τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ καὶ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, ἀπὸ δὲ τᾶς ΘΕ οὐκ ἀναγεγράπται. τομέες οὖν οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς ἐλαχίστας τομέως ἐλάσσονα λόγον ἔχοντι, ἢ τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ τετραγώνου. ἔστιν δὲ τοῖς μὲν τομέεσσιν τοῖς ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ

---

6. μέγιστος] scripsi; μείζων F, uulgo. ΘΑΗ ed. Basil., Torellius (qui etiam in figura Η pro Κ habent); ΘΑΚ F, uulgo* 7. ἐλάχιστος] scripsi; ελασσων F, uulgo. 8. διηχθωσαν F, uulgo. 9. δὴ αἱ] scripsi; αἱ om. F, uulgo. 10. τῷ]

plana circumscribatur ex similibus sectoribus composita, ita ut figura circumscripta spatium illud excedat spatio minore, quam quanto sector ϙX spatium illud excedit [prop. 23]. circumscribatur igitur, et sectorum, ex quibus figura circumscripta composita est, maximus sit ΘAK, minimus autem $\Theta O\Delta$. adparet igitur, figuram circumscriptam minorem esse sectore ϙX [p. 101 not. 1]. producantur igitur lineae aequales angulos ad punctum Θ efficientes usque eo, ut ad ambitum sectoris ΘAZ perueniant. sunt igitur lineae quaedam aequali spatio inter se excedentes, quae a puncto Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE. sed etiam aliae lineae sunt, numero una pauciores illis, magnitudine autem et inter se et maximae aequales, quae a puncto Θ ad ambitum sectoris $A\Theta Z$ ductae sunt, praeter ΘZ, et in omnibus lineis, et iis, quae inter se et maximae aequales sunt, et iis, quae aequali spatio inter se excedunt, similes sectores constructi sunt, in ΘE autem nullus constructus est. sectores igitur in lineis et inter se et maximae aequalibus constructi ad sectores in lineis aequali spatio inter se excedentibus constructos praeter sectorem in minima constructum minorem rationem habent, quam

$$\Theta A^2 : A\Theta \times \Theta E + \tfrac{1}{3} EZ^2 \text{ [prop. 11 coroll.].}$$

sed sectoribus in lineis et inter se et maximae aequa-

scripsi; το F, uulgo. 13. ων F, uulgo. 14. ελασσ cum comp. ων F, uulgo; corr. Torellius; ἐλάσσους B; ἐλάσσονι ed. Basil. 15. αλληλαις F; corr. Torellius, ut lin. 19. 17. ἀναγεγράφονται Torellius. 18. τομεις F, uulgo. 25. τό τε] scripsi; τα τε F, uulgo. 27. τομενσιν F, uulgo. αλληλαις F; corr. Torellius.

τᾷ μεγίστᾳ ἴσος ὁ ΘΑΖ τομεύς, τοῖς δὲ ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν τὸ περιγεγραμμένον. ἐλάσσονα οὖν λόγον ἔχει ὁ ΘΑΖ τομεὺς ποτὶ τὸ περιγεγραμμένον σχῆμα, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΖΕ. ὃν δὲ λόγον ἔχει τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὰ εἰρημένα, τοῦτον τὸν λόγον ἔχει ὁ ΘΑΖ τομεὺς ποτὶ τὸν Χϛ τομέα. ὥστε ἐλάσσων ἐστὶν ὁ Χϛ τομεὺς τοῦ περιγεγραμμένου σχήματος. οὔκ ἐστι δέ, ἀλλὰ μείζων. οὐκ ἄρα ἐσσεῖται ὁ Χϛ τομεὺς μείζων τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν.

οὐδὲ τοίνυν ἐλάττων. ἔστω γὰρ ἐλάσσων, καὶ τὰ ἄλλα τὰ αὐτὰ κατεσκευάσθω. πάλιν δὴ δυνατόν ἐστιν εἰς τὸ χωρίον ἐγγράψαι σχῆμα ἐπίπεδον ἐξ ὁμοίων τομέων συγκείμενον, ὥστε τὸ εἰρημένον χωρίον μεῖζον εἶμεν τοῦ ἐγγραφέντος σχήματος ἐλάσσονι, ἢ ἁλίκῳ ὑπερέχει τὸ αὐτὸ χωρίον τοῦ Χϛ τομέως. ἐγγεγράφθω οὖν, καὶ ἔστω τῶν τομέων, ἐξ ὧν συγκεῖται τὸ ἐγγεγραμμένον σχῆμα, μέγιστος μὲν ὁ ΘΒΗ, ἐλάχιστος δὲ ὁ ΟΘΕ. δῆλον οὖν, ὅτι τὸ ἐγγεγραμμένον σχῆμα μεῖζόν ἐστι τοῦ Χϛ τομέως. πάλιν οὖν ἐντί τινες γραμμαὶ τῷ ἴσῳ ἀλλάλαν ὑπερεχούσαι, αἱ ἀπὸ τοῦ



2. *περιγεγραμμένον σχῆμα* Torellius. 5. *τό τε*] *τω τε* F. 8. *Χϛ*] *Χ* F; corr. Torellius, ut lin. 9. 10. *εσται* per comp.

libus constructis aequalis est sector $\Theta A Z$, iis autem, qui in lineis aequali spatio inter se excedentibus constructi sunt, [figura] circumscripta. itaque sector $\Theta A Z$ ad figuram circumscriptam minorem rationem habet, quam $\Theta A^2 : \Theta A \times \Theta E + \frac{1}{3} Z E^2$. est autem

$$\Theta A^2 : \Theta A \times \Theta E + \tfrac{1}{3} Z E^2 = \Theta A Z : X\text{ϙ}.$$

quare sector Xϙ minor est figura circumscripta [Eucl. V, 10]. sed minor non est, uerum maior. itaque sector Xϙ maior non erit spatio comprehenso spirali $AB\Gamma\Delta E$ et lineis $A\Theta$, ΘE.

sed ne minor quidem est. sit enim minor, et cetera eadem comparentur. rursus igitur fieri potest, ut spatio inscribatur figura plana ex similibus sectoribus composita, ita ut spatium, quod commemorauimus, figuram inscriptam excedat spatio minore, quam quanto idem spatium sectorem Xϙ excedit [prop. 23 coroll.]. inscribatur igitur, et sectorum, ex quibus figura inscripta composita est, maximus sit $\Theta B H$, minimus autem $O \Theta E$. adparet igitur, figuram inscriptam maiorem esse sectore Xϙ [p. 105 not. 1]. rursus igitur lineae quaedam sunt aequali spatio inter se excedentes, quae a puncto

---

F, uulgo. 13. *λ'* F. *γάρ, εἰ δυνατόν* Torellius. 19. *ελασσον* F; corr. B*. 24. *μέγιστος*] scripsi; *μειζων* F, uulgo 25. $\Theta B \Gamma$ F, uulgo* (etiam in figura Γ pro H); $\Theta B K$ ed. Basil.; corr. Torellius. *ἐλάχιστος*] scripsi; *ελασσων* F, uulgo. 26. ΘE F. *γεγραμμενον* F; corr. BD. 28. Xϙ] scripsi; X F, uulgo. 29. *αἱ*] om. F; corr. Torellius.

Θ ποτὶ τὰν ἕλικα ποτιπιπτούσαι, ἂν ἐστι μεγίστα μὲν ἁ ΘΑ, ἐλαχίστα δὲ ἁ ΘΕ. ἐντὶ δὲ καὶ ἄλλαι γραμμαὶ αἱ ἀπὸ τοῦ Θ ποτὶ τὰν τοῦ ΘΑΖ τομέως περιφέρειαν ποτιπιπτούσαι χωρὶς τᾶς ΘΑ τῷ μὲν πλήθει μιᾷ ἐλασσόνες τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν, τῷ δὲ μεγέθει ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ἴσαι, καὶ ἀναγεγραφάται ἀπὸ ἑκάστας ὁμοίοι τομέες, ἀπὸ δὲ τᾶς μεγίστας τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν οὐκ ἀναγεγράπται. οἱ τομέες οὖν οἱ ἀπὸ τᾶν ἰσᾶν ἀλλάλαις τε καὶ τᾷ μεγίστᾳ ποτὶ τοὺς τομέας τοὺς ἀπὸ τᾶν τῷ ἴσῳ ἀλλάλαν ὑπερεχουσᾶν χωρὶς τοῦ ἀπὸ τᾶς μεγίστας μείζονα λόγον ἔχοντι, ἢ τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ΘΑ ποτὶ τὸ ὑπὸ τᾶν ΘΑ, ΘΕ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΕΖ. ὥστε καὶ ὁ ΘΑΖ τομεὺς ποτὶ τὸ ἐγγεγραμμένον σχῆμα μείζονα λόγον ἔχει, ἥπερ ποτὶ τὸν Χϙ τομέα. ὥστε μείζων ὁ Χϙ τομεὺς τοῦ ἐγγεγραμμένου σχήματος. οὐκ ἐστι δέ, ἀλλὰ ἐλάσσων. οὐκ ἄρα ἐστὶν οὐδὲ ἐλάσσων ὁ Χϙ τομεὺς τοῦ περιεχομένου χωρίου ὑπό τε τᾶς ΑΒΓΔΕ ἕλικος καὶ τᾶν ΑΘ, ΘΕ εὐθειᾶν. ἴσος ἄρα.

κζ'.

Τῶν χωρίων τῶν περιεχομένων ὑπό τε τᾶν ἑλίκων καὶ τᾶν εὐθειᾶν τᾶν ἐν τᾷ περιφορᾷ τὸ μὲν τρίτον τοῦ δευτέρου διπλάσιόν ἐστι, τὸ δὲ τέταρτον τριπλάσιον, τὸ δὲ πέμπτον τετραπλάσιον, καὶ ἀεὶ τὸ ἑπόμενον κατὰ τοὺς ἑξῆς ἀριθμοὺς πολλαπλάσιον τοῦ δευ-

---

1. *ων* F, uulgo. 3. *αἱ*] om. F; corr. Torellius. 4. *μιας* F; corr. Torellius. 5. *τᾶν*] *των* F; corr. Torellius. *τῷ*] addidi cum V(?); om. F, uulgo. 6. *αναγεγραφεται* F, uulgo; *ἀναγεγράφονται* Torellius. 7. *τομεις* F. *ταν μεγισταν* F; corr. B. 8. *τᾶν τῷ*] *τᾶν* om. F; corr. Torellius; *τῶν* B

Θ ad spiralem ductae sunt [prop. 12], quarum maxima est ΘA, minima autem ΘE. sed aliae quoque lineae sunt, quae a Θ ad ambitum sectoris ΘAZ ductae sunt, praeter lineam ΘA, numero una pauciores iis, quae aequali spatio inter se excedunt, magnitudine autem et inter se et maximae aequales, et in omnibus similes sectores constructi sunt, in maxima autem earum, quae aequali spatio inter se excedunt, nullus constructus est. sectores igitur in lineis et inter se et maximae aequalibus constructi ad sectores in lineis aequali spatio inter se excedentibus constructos praeter sectorem in maxima constructum maiorem rationem habent, quam $\Theta A^2 : \Theta A \times \Theta E + \frac{1}{3} EZ^2$ [prop. 11 coroll.]. quare etiam sector ΘAZ ad figuram inscriptam maiorem rationem habet quam ad sectorem Xϙ. quare sector Xϙ maior est figura inscripta [Eucl. V, 10]. sed maior non est, uerum minor. itaque sector Xϙ ne minor quidem est spatio spirali $AB\Gamma\Delta E$ et lineis $A\Theta$, ΘE comprehenso. itaque aequalis est.

XXVII.

Spatiorum comprehensorum spiralibus et lineis, quae in circumactione sunt, tertium duplo maius est secundo, quartum uero triplo maius, quintum uero quadruplo maius, et semper deinceps insequens spatium toties multiplex erit, quam spatium secundum,

---

manu 2. 10. τῷ] om. F; corr. B. 13. ΘE] AE F; corr. B.* 14. ὥστε] εστω per comp. F; corr. BC. 15. προς per comp. F; corr. Torellius. Xϙ] scripsi cum Cr; X F, uulgo, ut lin. 16, 18. 20. ισα F; corr. Torellius. 21. λα′ F. 23. τρίτον] $\bar{\gamma}$ F, et sic semper in hac propositione, nisi quod interdum scribitur α′ (p. 126 lin. 7).

τέρου χωρίου, τὸ δὲ πρῶτον χωρίον ἕκτον μέρος ἐστὶ τοῦ δευτέρου.

ἔστω ἁ προκειμένα ἕλιξ ἔν τε τᾷ πρώτᾳ περιφορᾷ γεγραμμένα καὶ ἐν τᾷ δευτέρᾳ καὶ ἐν ταῖς ἑπομέναις ὁποσαισοῦν. ἔστω δὲ ἀρχὰ μὲν τᾶς ἕλικος τὸ Θ σαμεῖον, ἁ δὲ ΘΕ εὐθεῖα ἀρχὰ τᾶς περιφορᾶς. τῶν δὲ χωρίων ἔστω τὸ μὲν Κ τὸ πρῶτον, τὸ δὲ Λ τὸ δεύτερον, τὸ δὲ Μ τὸ τρίτον, τὸ δὲ Ν τὸ τέταρτον, τὸ δὲ Ξ τὸ πέμπτον. δεικτέον, ὅτι τὸ μὲν Κ χωρίον ἕκτον μέρος ἐστὶ τοῦ ἑπομένου, τὸ δὲ Μ διπλάσιον τοῦ Λ, τὸ δὲ Ν τριπλάσιον τοῦ Λ, καὶ τῶν ἑξῆς αἰεὶ τὸ ἑπόμενον πολλαπλάσιον τοῦ Λ κατὰ τοὺς ἑξῆς ἀριθμούς.

ὅτι μὲν οὖν τὸ Κ ἕκτον μέρος ἐστὶ τοῦ Λ, ὧδε δεικνύται. ἐπεὶ τὸ ΚΛ χωρίον ποτὶ τὸν δεύτερον κύκλον δεδείκται τοῦτον ἔχον τὸν λόγον, ὃν ἔχει τὰ ζʹ ποτὶ τὰ ιβʹ, ὁ δὲ δεύτερος κύκλος ποτὶ τὸν πρῶτον κύκλον, ὡς ιβʹ ποτὶ τὰ γʹ· δῆλον γάρ ἐστιν· ὁ δὲ πρῶτος κύκλος ποτὶ τὸ Κ χωρίον ἔχει, ὡς γʹ ποτὶ αʹ, ἕκτον ἄρα ἐστὶ τὸ Κ χωρίον τοῦ Λ. πάλιν δὲ καὶ τὸ ΚΛΜ χωρίον ποτὶ τὸν τρίτον κύκλον δεδείκται ὅτι τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον τό τε ὑπὸ ΓΘ, ΘΒ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΒ



3. *προκειμενω* F. 5. *δέ*] addidi; om. F, uulgo. 10. *Ν τριπλάσιον*] *ΗΓΠ* F C*. 11. *παλλαπλασιον* F. 16. *ἔχον*] scripsi; *εχειν* F, uulgo. 17. *προς* per comp. F; corr. Torellius, ut lin. 23. 23. *ἕκτον*] ϛʹ FBC*; *καί* A; *ἴσον* ed. Basil., uulgo. 24. *Λ*] *Α* F; corr. A. 27. *ΓΘΒ* F, uulgo.

quoties indicant numeri ordine sequentes, primum autem spatium sexta pars est secundi.

spiralis proposita in prima, secunda, reliquisque quotlibet circumactionibus descripta sit. principium autem spiralis sit punctum Θ, linea autem ΘE principium circumactionis. spatiorum autem primum sit K, secundum Λ, tertium M, quartum N, quintum Ξ. demonstrandum, spatium K sextam partem esse spatii sequentis [Λ], spatium autem M duplo maius spatio Λ, spatium autem N triplo maius spatio Λ, et reliquorum spatiorum semper deinceps insequens toties multiplex esse, quam spatium Λ, quoties indicent numeri ordine sequentes.

iam spatium K sextam partem esse spatii Λ, hoc modo demonstramus. quoniam demonstratum est, spatium $K + \Lambda$ ad secundum circulum eam habere rationem, quam $7 : 12$ [prop. 25], secundus autem circulus ad primum circulum eam rationem habet, quam $12 : 3$ (hoc enim manifestum est)[1]), primus autem circulus ad spatium K eam rationem habet, quam $3 : 1$ [prop. 24], erit igitur spatium K sexta pars spatii Λ.[2]) rursus autem demonstratum est, etiam spatium

$$K + \Lambda + M$$

ad tertium circulum eam habere rationem, quam

$$\Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 : \Gamma\Theta^2 \text{ [prop. 25 coroll.];}$$

1) Ex Eucl. XII, 2; nam $\Theta B = 2\Theta A$.

2) Sit enim circulus primus C_1, secundus C_2 cett. erit: $K + \Lambda : C_2 = 7 : 12$, $C_2 : C_1 = 12 : 3$; inde δι' ἴσου (Eucl. V, 22): $K + \Lambda : C_1 = 7 : 3$. est autem $C_1 : K = 3 : 1$; itaque δι' ἴσου: $K + \Lambda : K = 7 : 1$; siue $K + \Lambda = 7K$, $\Lambda = 6K$.

τετραγώνου ποτὶ τὸ ἀπὸ ΓΘ τετράγωνον. ὁ δὲ τρίτος κύκλος ἔχει ποτὶ τὸν δεύτερον κύκλον, ὃν τὸ ἀπὸ τᾶς ΓΘ τετράγωνον ποτὶ τὸ ἀπὸ τᾶς ΘΒ. ὁ δὲ δεύτερος κύκλος ἔχει ποτὶ τὸ ΚΛ χωρίον, ὃν τὸ ἀπὸ ΒΘ τετράγωνον ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΒΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου. καὶ τὸ ΚΛΜ ἄρα ποτὶ τὸ ΚΛ λόγον ἔχει, ὃν τὸ ὑπὸ τᾶν ΓΘ, ΘΒ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΒ ποτὶ τὸ ὑπὸ τᾶν ΒΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου. ταῦτα δὲ ἔχει ποτὶ ἄλλαλα λόγον, ὃν ιθʹ ποτὶ τὰ ζʹ. ὥστε καὶ τὸ ΚΛΜ χωρίον ποτὶ τὸ ΛΚ χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν ιθʹ ποτὶ τὰ ζʹ. αὐτὸ οὖν τὸ Μ ποτὶ τὸ ΚΛ λόγον ἔχει, ὃν τὰ ιβʹ ποτὶ τὰ ζʹ. τὸ δὲ ΚΛ ποτὶ τὸ Λ λόγον ἔχει, ὃν τὰ ζʹ ποτὶ τὰ ϛʹ. δῆλον οὖν, ὅτι διπλάσιόν ἐστι τὸ Μ τοῦ Λ. ὅτι δὲ τὰ ἑπόμενα τὸν τῶν ἑξῆς ἀριθμῶν λόγον ἔχει, δειχθησέται. τὸ γὰρ ΚΛΜΝΞ ποτὶ τὸν κύκλον, οὗ ἐστιν ἐκ τοῦ κέντρου ἁ ΘΕ, τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον τό τε ὑπὸ τᾶν ΕΘ, ΘΔ περιεχόμενον καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΔΕ τετραγώνου ποτὶ τὸ ἀπὸ τᾶς ΘΕ τετράγωνον. ὁ δὲ κύκλος, οὗ ἐστιν ἐκ τοῦ κέντρόυ ἁ ΘΕ, ποτὶ τὸν κύκλον, οὗ ἐστιν ἐκ τοῦ κέντρου ἁ ΘΔ, τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ἀπὸ τᾶς ΘΕ τετράγωνον ποτὶ τὸ ἀπὸ τᾶς ΘΔ τετράγωνον. ὁ δὲ κύκλος, οὗ ἐστιν ἐκ τοῦ κέντρου ἁ ΔΘ, ποτὶ τὸ ΚΛΜΝ χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ἀπὸ τᾶς ΘΔ τετράγω-

---

2. της ΓΘ F; corr. Torellius. 7. καὶ τὸ ΚΛΜ ἄρα usque ad τοῦ ἀπὸ τᾶς ΑΒ τετραγώνου lin. 10 om. F, uulgo, et fortasse abesse possunt; suppl. Commandinus (τῶν pro τᾶν lin. 9; corr. Torellius), nisi quod omisit τετραγώνου lin. 10, quod ipse addidi. 10. προς per comp. F; corr. Torellius.

circulus autem tertius ad secundum eam rationem habet, quam $\Gamma\Theta^2 : \Theta B^2$ [Eucl. XII, 2]; secundus autem circulus ad spatium $K + \Lambda$ eam rationem habet, quam $B\Theta^2 : B\Theta \times \Theta\Lambda + \frac{1}{3}\Lambda B^2$ [prop. 25]; erit igitur etiam

$$K + \Lambda + M : K + \Lambda$$
$$= \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 : B\Theta \times \Theta\Lambda + \tfrac{1}{3}\Lambda B^2,^{1)}$$

h. e. $= 19 : 7.$[2]) quare etiam

$$K + \Lambda + M : \Lambda + K = 19 : 7.$$

ergo $M : K + \Lambda = 12 : 7$ [Eucl. V, 17]. sed

$$K + \Lambda : \Lambda = 7 : 6.$$

[ergo $M : \Lambda = 12 : 6$ (Eucl. V, 22)]. quare $M = 2\Lambda$.

iam demonstrabimus, spatia insequentia eas rationes habere, quas numeri deinceps ordine sequentes. nam spatium $K + \Lambda + M + N + \Xi$ ad circulum, cuius radius est linea ΘE, eam rationem habet, quam $E\Theta \times \Theta\Delta + \frac{1}{3}\Delta E^2 : \Theta E^2$ [prop. 25 coroll.]. circulus autem, cuius radius est ΘE, ad circulum, cuius radius est $\Theta\Delta$, eam rationem habet, quam $\Theta E^2 : \Theta\Delta^2$ [Eucl. XII, 2]. circulus autem, cuius radius est $\Delta\Theta$, ad spatium $K + \Lambda + M + N$ eam rationem habet, quam

1) Nam $K + \Lambda + M : C_3 = \Gamma\Theta \times \Theta B + \frac{1}{3}\Gamma B^2 : \Gamma\Theta^2$, $C_3 : C_2 = \Gamma\Theta^2 : \Theta B^2$, h. e. (Eucl. V, 22) $K + \Lambda + M : C_2 = \Gamma\Theta \times \Theta B + \frac{1}{3}\Gamma B^2 : \Theta B^2$; sed $C_2 : K + \Lambda = \Theta B^2 : B\Theta \times \Theta\Lambda + \frac{1}{3}\Lambda B^2$; tum u. Eucl. V, 22.

2) Nam $\Gamma\Theta = 3\Theta\Lambda$, $\Theta B = 2\Theta\Lambda$, $\Gamma B = \Lambda B = \Theta\Lambda$ (p. 109 not. 1); quare $\Gamma\Theta \times \Theta B + \frac{1}{3}\Gamma B^2 : B\Theta \times \Theta\Lambda + \frac{1}{3}\Lambda B^2 = 6\Theta\Lambda^2 + \frac{1}{3}\Theta\Lambda^2 : 2\Theta\Lambda^2 + \frac{1}{3}\Theta\Lambda^2 = 19\Theta\Lambda^2 : 7\Theta\Lambda^2 = 19 : 7.$

αλληλα FBC*. 15. οὖν ὅτι] οτι ουν utrumque per comp. F. 17. $HK\Lambda$, $MN\Xi$ F. 20. των per comp. F; corr. Torellius. 26. ἐκ] scripsi; ἀπο F, uulgo.

νον ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΘΔ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΔΓ τετραγώνου. καὶ τὸ ΚΛΜΝΞ ἄρα ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν τὸ ὑπὸ τᾶν ΘΕ, ΘΔ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΔΕ ποτὶ τὸ ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΔΓ. διελόντι καὶ τὸ Ξ χωρίον ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν ἁ ὑπεροχὰ τοῦ τε ὑπὸ ΕΘ, ΘΔ μετὰ τοῦ τρίτου μέρεος τοῦ ἀπὸ τᾶς ΕΔ καὶ τοῦ ὑπὸ τᾶν ΔΘ, ΘΓ μετὰ τοῦ τρίτου μέρεος τοῦ ἀπὸ τᾶς ΔΓ ποτί τε τὸ ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΔΓ. ὑπερέχει δὲ τὰ συναμφότερα τῶν συναμφοτέρων, ᾧ καὶ τὸ ὑπὸ τᾶν ΕΘ, ΘΔ τοῦ ὑπὸ τᾶν ΔΘ, ΘΓ. ὑπερέχει δὲ τῷ ὑπὸ τᾶν ΔΘ, ΓΕ. τὸ Ξ ἄρα ποτὶ τὸ ΚΛΜΝ λόγον ἔχει, ὃν τὸ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὸ ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΔ τετραγώνου. διὰ δὲ τῶν αὐτῶν δειχθησέται καὶ τὸ Ν ποτὶ τὸ ΚΛΜ χωρίον λόγον ἔχον τοῦτον, ὃν τὸ ὑπὸ τᾶν ΘΓ, ΒΔ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ ΓΘ, ΘΒ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ ΓΒ τετραγώνου. τὸ Ν ἄρα ποτὶ τὸ ΚΛΜΝ χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ὑπὸ ΘΓ, ΒΔ ποτὶ τὸ ὑπὸ ΘΓ, ΒΔ καὶ τὸ ὑπὸ ΘΓ, ΘΒ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΒ [καὶ ἀνάπαλιν]· ταῦτα

4. *τᾶν*] *των* F; corr. Torellius, ut lin. 5, 10, 13 (alt.), 14 et lin. 12, 13, 15 (comp. F). 5. *ΔΘ*] *ΑΘ* FD. 7. *η υπεροχη* F; corr. Torellius. 8. *μερους* F, uulgo. *καὶ τοῦ ὑπό* . . ad *τᾶς ΔΓ* lin. 10 om. F; corr. Torellius, nisi quod *τᾶν* lin. 9 omisit. 10. *ποτί*] *προς* F; corr. Torellius. 12. *ΕΘΔ* F; corr. Torellius. 13. *ΔΘΓ* F; corr. Torellius. 14. *ὃν τό*] *ον τε* F; corr. A; *ὃν τε τό* B. 16. *της* F; corr. Torellius. 19. *τό τε*] *τω τε* F. *ΓΘΒ* F, uulgo. 22. *τὸ ὑπὸ ΘΓ, ΒΔ καί*] addidi; om. F; post *ΓΒ* lin. 23 addunt Commandinus et Torellius: *καὶ τὸ ὑπὸ ΘΓ, ΒΔ*. *ὑπό*] om. F; corr. B. 23. *καὶ ἀνάπαλιν*] deleo.

$\Theta\varDelta^2 : \Theta\varDelta \times \Theta\Gamma + \frac{1}{3}\varDelta\Gamma^2$ [prop. 25 coroll.]. quare erit etiam

$$K + \varLambda + M + N + \varXi : K + \varLambda + M + N$$
$$= \Theta E \times \Theta\varDelta + \tfrac{1}{3}\varDelta E^2 : \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\varDelta\Gamma^2.$$ [1])

et dirimendo [Eucl. V, 17] erit

$$\varXi : K + \varLambda + M + N = E\Theta \times \Theta\varDelta + \tfrac{1}{3}E\varDelta^2$$
$$\div (\varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\varDelta\Gamma^2) : \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\varDelta\Gamma^2.$$

sed $E\Theta \times \Theta\varDelta + \frac{1}{3}E\varDelta^2 \div (\varDelta\Theta \times \Theta\Gamma + \frac{1}{3}\varDelta\Gamma^2)$
$$= E\Theta \times \Theta\varDelta \div \varDelta\Theta \times \Theta\Gamma$$
[quia $E\varDelta = \varDelta\Gamma$] $= \varDelta\Theta \times \Gamma E$. erit igitur
$$\varXi : K + \varLambda + M + N = \Theta\varDelta \times \Gamma E : \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\Gamma\varDelta^2.$$
et eadem ratione demonstrabimus, esse
$$N : K + \varLambda + M = \Theta\Gamma \times B\varDelta : \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2.$$
erit igitur $N : K + \varLambda + M + N$
$$= \Theta\Gamma \times B\varDelta : \Theta\Gamma \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 + \Theta\Gamma \times B\varDelta.$$ [2])

sed $\Theta\Gamma \times B\varDelta + \Theta\Gamma \times \Theta B + \frac{1}{3}\Gamma B^2$
$$= \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\Gamma\varDelta^2$$ [nam $\Gamma\varDelta = \Gamma B$].

---

1) Est enim
$$K + \varLambda + M + N + \varXi : C_5 = E\Theta \times \Theta\varDelta + \tfrac{1}{3}\varDelta E^2 : \Theta E^2$$
et $C_5 : C_4 = \Theta E^2 : \Theta\varDelta^2$; unde (Eucl. V, 22):
$$K + \varLambda + M + N + \varXi : C_4 = E\Theta \times \Theta\varDelta + \tfrac{1}{3}\varDelta E^2 : \Theta\varDelta^2;$$
sed $C_4 : K + \varLambda + M + N = \Theta\varDelta^2 : \Theta\varDelta \times \Theta\Gamma + \frac{1}{3}\varDelta\Gamma^2$; tum u. Eucl. V, 22.

2) Cum sit
$$N : K + \varLambda + M = \Theta\Gamma \times B\varDelta : \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2,$$
erit etiam ἀνάπαλιν
$$K + \varLambda + M : N = \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 : \Theta\Gamma \times B\varDelta,$$
et συνθέντι
$$K + \varLambda + M + N : N = \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 + \Theta\Gamma \times B\varDelta : \Theta\Gamma \times B\varDelta,$$
et ἀνάπαλιν
$$N : K + \varLambda + M + N = \Theta\Gamma \times B\varDelta : \Gamma\Theta \times \Theta B + \tfrac{1}{3}\Gamma B^2 + \Theta\Gamma \times B\varDelta.$$
Hinc simul intellegitur, ineptum esse additamentum καὶ ἀνάπαλιν lin. 23; nam proportio $N : K + \varLambda + M + N$ ipsa ἀνάπαλιν orta est. his uerbis deletis hoc quoque adipiscimur, ut uerbum ταῦτα lin. 23 habeat, quo apte referatur (sc. $\Theta\Gamma \times B\varDelta + \Theta\Gamma \times \Theta B + \frac{1}{3}\Gamma B^2$, proxime antecedens).

δὲ ἴσα ἐντὶ τῷ τε ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τῷ τρίτῳ μέρει τοῦ ἀπὸ τᾶς ΓΔ τετραγώνου. ἐπεὶ οὖν τὸ μὲν Ξ χωρίον ποτὶ τὸ ΚΛΜΝ τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΔ τετραγώνου, τὸ δὲ ΚΛΜΝ ποτὶ τὸ Ν, ὃν τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΔΘ, ΘΓ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΓΔ τετραγώνου ποτὶ τὸ ὑπὸ τᾶν ΘΓ, ΔΒ, ἔχει ἄρα καὶ τὸ Ξ ποτὶ τὸ Ν τὸν αὐτὸν λόγον, ὃν τὸ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὸ ὑπὸ τᾶν ΘΓ, ΔΒ. τὸ δὲ ὑπὸ τᾶν ΘΔ, ΓΕ ποτὶ τὸ ὑπὸ τᾶν ΘΓ, ΔΒ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ ΘΔ ποτὶ τὰν ΘΓ, ἐπεὶ ἴσαι ἐντὶ αἱ ΓΕ, ΒΔ. δῆλον οὖν, ὅτι καὶ τὸ Ξ ποτὶ τὸ Ν τοῦτον ἔχει τὸν λόγον, ὃν ἁ ΘΔ ποτὶ τὰν ΘΓ.

ὁμοίως δὲ δειχθησέται καὶ τὸ Ν ποτὶ τὸ Μ τοῦτον ἔχον τὸν λόγον, ὃν ἁ ΘΓ ποτὶ τὰν ΘΒ, καὶ τὸ Μ ποτὶ τὸ Λ, ὃν ἁ ΒΘ ποτὶ τὰν ΛΘ. αἱ δὲ [ΕΘ] ΔΘ, ΓΘ, ΒΘ, ΛΘ εὐθεῖαι τὸν τῶν ἑξῆς ἀριθμῶν λόγον ἔχοντι.

κη'.

Εἴ κα ἐπὶ τᾶς ἕλικος τᾶς ἐν ὁποιᾳοῦν περιφορᾷ γεγραμμένας δύο σαμεῖα λαφθέωντι μὴ τὰ πέρατα, ἀπὸ δὲ τῶν λαφθέντων σαμείων ἐπιζευχθέωντι εὐθεῖαι ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος, καὶ κέντρῳ μὲν τᾷ ἀρχᾷ τᾶς ἕλικος, διαστημάτεσσι δὲ τοῖς ἀπὸ τῶν σαμείων ἐπὶ τὰν ἀρχὰν τᾶς ἕλικος κύκλοι γραφέωντι, τὸ περιλαφθὲν χωρίον ὑπό τε τᾶς μείζονος τᾶν περιφερειᾶν

---

3. *προς* per comp. F; corr. Torellius. 4. *τό*] (alt.) scripsi; *τω* F, uulgo. 5. *ΔΘΓ* F, uulgo. 6. *τὸ δέ*] *τα δε* F; corr. Torellius. 7. *ΔΘΓ* F, uulgo. 8. *τὸ ὑπό*] *τα υπο* F; corr.

iam quoniam

$$\Xi : K + \Lambda + M + N = \Theta\varDelta \times \Gamma E : \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\Gamma\varDelta^2$$

et

$$K + \Lambda + M + N : N = \varDelta\Theta \times \Theta\Gamma + \tfrac{1}{3}\Gamma\varDelta^2 : \Theta\Gamma \times \varDelta B$$

[Eucl. V, 7 πόρισμα], erit igitur etiam [Eucl. V, 22]

$$\Xi : N = \Theta\varDelta \times \Gamma E : \Theta\Gamma \times \varDelta B = \Theta\varDelta : \Theta\Gamma$$

(quoniam $\Gamma E = B\varDelta$). adparet igitur, esse

$$\Xi : N = \Theta\varDelta : \Theta\Gamma.$$

et eodem modo demonstrabimus, esse etiam

$$N : M = \Theta\Gamma : \Theta B,\ M : \Lambda = B\Theta : \Lambda\Theta.$$

sed lineae $\varDelta\Theta$, $\Gamma\Theta$, $B\Theta$, $\Lambda\Theta$ eam rationem habent, quam numeri ordine sequentes.[1])

XXVIII.

Si in spirali qualibet[2]) circumactione descripta duo puncta sumuntur, quae termini eius non sunt, et a punctis [ita] sumptis ad principium spiralis lineae ducuntur, et circuli describuntur, quorum centrum est principium spiralis, radii autem lineae a punctis ad principium spiralis ductae, spatium com-

1) Erit igitur $\Xi : N : M : \Lambda = \Theta\varDelta : \Theta\Gamma : \Theta B : \Theta\Lambda$. hinc autem intellegitur, lineam $E\Theta$ male additam esse lin. 17. neque enim ei ullum spatium respondet.

2) Propositio de omni spirali uera est, sed ab Archimede de spirali una circumactione descripta sola demonstratur; quare ὁποιαοῦν lin. 21 suspectum est; cfr. p. 12, 12.

B. τᾶν] τα F; corr. ABD. 10. τὸ ὑπὸ τᾶν $\Theta\varDelta$, ΓE ποτι repetuntur in FVA. 11. $\Theta\varDelta$] $\Theta\Lambda$ F; corr. manus 1. 17. τάν] τον F; corr. B. $E\Theta$] deleo. 19. εχωντι F. 20. κη′] om. F. 21. ὁποιαοῦν] μιᾷ Nizzius. 22. λαφθωντι F, uulgo. 23. ἐπιζευχθέωντι] scripsi; επιζευχθωσιν F, uulgo; ἐπιζευχθῶντι Torellius. 25. διαστημάτεσσι] scripsi; διαστημασι FC; διαστήματι uulgo; διαστημάσσι Torellius. σαμείων] sic F. 26. τα αρχα F; corr. Torellius.

τᾶν μεταξὺ τᾶν εὐθειᾶν καὶ τᾶς ἕλικος τᾶς μεταξὺ τᾶν αὐτᾶν εὐθειᾶν καὶ τᾶς εὐθείας τᾶς ἐκβληθείσας τοῦτον ἕξει τὸν λόγον ποτὶ τὸ ἀπολαφθὲν χωρίον ὑπό τε τᾶς ἐλάσσονος περιφερείας καὶ τᾶς αὐτᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ πέρατα αὐτᾶν, ὃν ἁ ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ δύο τριταμορίων τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ ἑνὸς τριταμορίου τᾶς αὐτᾶς ὑπεροχᾶς.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ $ABΓΔ$, ἐν μιᾷ περιφορᾷ γεγραμμένα, καὶ λελάφθω ἐπ' αὐτᾶς δύο σαμεῖα τὰ A, $Γ$, ὥστε τὸ $Θ$ σαμεῖον ἀρχὰν εἶμεν τᾶς ἕλικος. καὶ ἀπὸ τῶν A, $Γ$ ἐπεζεύχθωσαν ἐπὶ τὸ $Θ$. καὶ κέντρῳ τῷ $Θ$, διαστημάτεσσι δὲ τοῖς $ΘA$, $ΘΓ$ κύκλοι γεγράφθωσαν. δεικτέον, ὅτι τὸ $Ξ$ χωρίον ποτὶ τὸ $Π$ τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει συναμφότερος ἅ τε $AΘ$ καὶ δύο τριταμόρια τᾶς HA ποτὶ συναμφότερον τάν τε $AΘ$ καὶ ἓν τριταμόριον τᾶς HA.

τὸ γὰρ χωρίον τὸ $NΠ$ ποτὶ τὸν $HΓΘ$ τομέα δεδείκται τοῦτον ἔχον τὸν λόγον, ὃν ἔχει τό τε ὑπὸ τᾶν $HΘ$, $AΘ$ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς AH τετρα-

1. τᾶν μεταξύ] scripsi; τας μεταξυ F, uulgo. 2. εκβληθειας F. 3. περιλαφθέν? 6. ἐλάσσονος] om. F; corr. Torellius. 7. υπεροχει F. 9. ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου] om. F; corr. ed. Basil. (πρὸς τήν pro ποτὶ τάν, quod corr. Torellius). 10. τριτημοριου F. 12. ἐν] addidi; om. F, uulgo. 15. τῶν] ταν per comp. F. εὐθεῖαι ἐπί ed. Basil., Torellius (non BC*). 16. τῷ] το F. 18. τε] addidi; om. F, uulgo. $AΘ$] $HΘ$ FBC*; $ΘA$ uulgo, ut lin. 20. 19. τριτημορια FC*. HA] H FBC*. 20. HA] MA FBC* 22. ἔχον] B*, Nizzius; εχων FC*V; ἔχειν uulgo.

prehensum maiore eorum arcuum, qui sunt inter lineas, et spirali inter easdem lineas posita et linea producta[1]) eam habebit rationem ad spatium comprehensum arcu minore et eadem spirali et linea terminos eorum iungenti, quam radius circuli minoris cum duabus partibus excessus, quo radius circuli maioris radium circuli minoris excedit, ad radium circuli minoris cum tertia parte eiusdem excessus.

sit spiralis, in qua sit $AB\Gamma\Delta$, una circumactione descripta, et sumantur in ea duo puncta A, Γ, ita ut punctum Θ principium sit spiralis. et a punctis A, Γ ad punctum Θ [lineae] ducantur. et describantur circuli, quorum centrum sit Θ, radii autem ΘA, $\Theta\Gamma$. demonstrandum, esse $\Xi : \Pi = A\Theta + \frac{2}{3}HA : A\Theta + \frac{1}{3}HA$.

nam demonstratum est, esse $N + \Pi : H\Gamma\Theta$



$= H\Theta \times A\Theta + \frac{1}{3}AH^2 : H\Theta^2$ [prop. 26].

1) Indicandum erat, radium circuli minoris ad ambitum circuli maioris producendum esse.

τᾶν μεταξὺ τᾶν εὐθειᾶν καὶ τᾶς ἕλικος τᾶς μεταξὺ τᾶν αὐτᾶν εὐθειᾶν καὶ τᾶς εὐθείας τᾶς ἐκβληθείσας τοῦτον ἕξει τὸν λόγον ποτὶ τὸ ἀπολαφθὲν χωρίον ὑπό τε τᾶς ἐλάσσονος περιφερείας καὶ τᾶς αὐτᾶς ἕλικος καὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ πέρατα αὐτᾶν, ὃν ἁ ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ δύο τριταμορίων τᾶς ὑπεροχᾶς, ᾇ ὑπερέχει ἁ ἐκ τοῦ κέντρου τοῦ μείζονος κύκλου τᾶς ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου μετὰ ἑνὸς τριταμορίου τᾶς αὐτᾶς ὑπεροχᾶς.

ἔστω ἕλιξ, ἐφ' ἇς ἁ ΑΒΓΔ, ἐν μιᾷ περιφορᾷ γεγραμμένα, καὶ λελάφθω ἐπ' αὐτᾶς δύο σαμεῖα τὰ Α, Γ, ὥστε τὸ Θ σαμεῖον ἀρχὰν εἶμεν τᾶς ἕλικος. καὶ ἀπὸ τῶν Α, Γ ἐπεξεύχθωσαν ἐπὶ τὸ Θ. καὶ κέντρῳ τῷ Θ, διαστημάτεσσι δὲ τοῖς ΘΑ, ΘΓ κύκλοι γεγράφθωσαν. δεικτέον, ὅτι τὸ Ξ χωρίον ποτὶ τὸ Π τὸν αὐτὸν ἔχει λόγον, ὃν ἔχει συναμφότερος ἅ τε ΑΘ καὶ δύο τριταμόρια τᾶς ΗΑ ποτὶ συναμφότερον τάν τε ΑΘ καὶ ἓν τριταμόριον τᾶς ΗΑ.

τὸ γὰρ χωρίον τὸ ΝΠ ποτὶ τὸν ΗΓΘ τομέα δεδείκται τοῦτον ἔχον τὸν λόγον, ὃν ἔχει τό τε ὑπὸ τᾶν ΗΘ, ΑΘ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΑΗ τετρα-

1. *τᾶν μεταξύ*] scripsi; *τας μεταξυ* F, uulgo. 2. *εκβληθειας* F. 3. *περιλαφθέν?* 6. *ἐλάσσονος*] om. F; corr. Torellius. 7. *υπεροχει* F. 9. *ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ἐλάσσονος κύκλου*] om. F; corr. ed. Basil. (*πρὸς τήν* pro *ποτὶ τάν*, quod corr. Torellius). 10. *τριτημοριον* F. 12. *ἐν*] addidi; om. F, uulgo. 15. *τῶν*] *ταν* per comp. F. *εὐθεῖαι ἐπί* ed. Basil., Torellius (non BC*). 16. *τῷ*] *το* F. 18. *τε*] addidi; om. F, uulgo. *ΑΘ*] *ΗΘ* FBC*; *ΘΑ* uulgo, ut lin. 20. 19. *τριτημορια* FC*. *ΗΑ*] *Η* FBC*. 20. *ΗΑ*] *ΜΑ* FBC* 22. *ἔχον*] B*, Nizzius; *εχων* FC*V; *ἔχειν* uulgo.

prehensum maiore eorum arcuum, qui sunt inter lineas, et spirali inter easdem lineas posita et linea producta[1]) eam habebit rationem ad spatium comprehensum arcu minore et eadem spirali et linea terminos eorum iungenti, quam radius circuli minoris cum duabus partibus excessus, quo radius circuli maioris radium circuli minoris excedit, ad radium circuli minoris cum tertia parte eiusdem excessus.

sit spiralis, in qua sit $AB\Gamma\Delta$, una circumactione descripta, et sumantur in ea duo puncta A, Γ, ita ut punctum Θ principium sit spiralis. et a punctis A, Γ ad punctum Θ [lineae] ducantur. et describantur circuli, quorum centrum sit Θ, radii autem ΘA, $\Theta\Gamma$. demonstrandum, esse $\Xi : \Pi = A\Theta + \frac{2}{3}HA : A\Theta + \frac{1}{3}HA$.

nam demonstratum est, esse $N + \Pi : H\Gamma\Theta$



$= H\Theta \times A\Theta + \frac{1}{3}AH^2 : H\Theta^2$ [prop. 26].

1) Indicandum erat, radium circuli minoris ad ambitum circuli maioris producendum esse.

γώνου ποτὶ τὸ ἀπὸ τᾶς ΗΘ τετράγωνον. αὐτὸ ἄρα τὸ Ξ ποτὶ τὸ ΝΠ τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει τὸ ὑπὸ τᾶν ΘΑ, ΑΗ μετὰ δύο τριταμορίων τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΑΘ, ΘΗ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ. καὶ ἐπεὶ τὸ ΝΠ χωρίον ποτὶ τὸν ΝΠΞ τομέα τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον τό τε ὑπὸ τᾶν ΘΑ, ΘΗ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ ποτὶ τὸ ἀπὸ τᾶς ΘΗ τετράγωνον, ὁ δὲ ΝΠΞ τομεὺς ποτὶ τὸν Ν τομέα τοῦτον ἔχει τὸν λόγον, ὃν τὸ ἀπὸ τᾶς ΘΗ ποτὶ τὸ ἀπὸ τᾶς ΘΑ, ἕξει καὶ τὸ ΝΠ χωρίον ποτὶ τὸν Ν τὸν αὐτὸν λόγον, ὃν ἔχει συναμφότερον τό τε ὑπὸ ΘΑ, ΘΗ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ ποτὶ τὸ ἀπὸ ΘΑ. τὸ ἄρα ΝΠ ποτὶ τὸ Π λόγον ἔχει, ὃν συναμφότερον τό τε ὑπὸ τᾶν ΗΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ ποτὶ συναμφότερον τό τε ὑπὸ τᾶν ΗΑ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου. ἐπεὶ οὖν τὸ Ξ χωρίον ποτὶ τὸ ΝΠ τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφότερον τό τε ὑπὸ ΘΑ, ΑΗ καὶ δύο τριταμόρια τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου ποτὶ τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΗΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ, τὸ δὲ ΝΠ χωρίον ποτὶ τὸ Π τοῦτον ἔχει τὸν λόγον, ὃν τὰ συναμφότερα τό τε ὑπὸ τᾶν ΗΘ, ΘΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου ποτὶ συναμφότερον τό τε ὑπὸ τᾶν ΗΑ, ΑΘ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου, ἕξει καὶ τὸ Ξ ποτὶ τὸ Π τοῦτον τὸν λόγον, ὃν

1. *της* F; corr. Torellius. 3. *ΘΑΗ* F, uulgo; similiter lin. 4. 6. *ΝΠΞ*] *ΝΗΞ* FD; *ΝΞ* uulgo; corr. Torellius. 7. *τᾶν*] *των* per comp. F; corr. Torellius. 8. *τᾶς*] *του* per comp. F. 9. *ΝΗΞ* FV. 11. *Ν τομέα* B, ed. Basil., Torellius.

quare erit[1])

$\Xi : N + \Pi = \Theta A \times AH + \frac{2}{3} HA^2 : A\Theta \times \Theta H + \frac{1}{3} HA^2.$

et quoniam est

$N + \Pi : N + \Pi + \Xi = \Theta A \times \Theta H + \frac{1}{3} HA^2 : \Theta H^2,$

et $N + \Pi + \Xi : N = \Theta H^2 : \Theta A^2,$[2]) erit igitur

$N + \Pi : N = \Theta A \times \Theta H + \frac{1}{3} HA^2 : \Theta A^2$ [Eucl. V, 22].

itaque

$N + \Pi : \Pi = H\Theta \times \Theta A + \frac{1}{3} HA^2 : HA \times \Theta A + \frac{1}{3} HA^2.$[3])

iam quoniam est

$\Xi : N + \Pi = \Theta A \times AH + \frac{2}{3} HA^2 : H\Theta \times \Theta A + \frac{1}{3} HA^2$

et

$N + \Pi : \Pi = H\Theta \times \Theta A + \frac{1}{3} HA^2 : HA \times A\Theta + \frac{1}{3} HA^2,$

---

1) ἀνάπαλιν: $H\Gamma\Theta : N + \Pi = H\Theta^2 : H\Theta \times A\Theta + \frac{1}{3} AH^2$; unde διελόντι:
$\Xi : N + \Pi = H\Theta^2 \div (H\Theta \times A\Theta + \frac{1}{3} AH^2) : H\Theta \times A\Theta + \frac{1}{3} AH^2.$
sed $H\Theta^2 \div (H\Theta \times A\Theta + \frac{1}{3} AH^2)$
$= HA^2 + A\Theta^2 + 2 HA \times A\Theta \div HA \times A\Theta \div A\Theta^2 \div \frac{1}{3} AH^2$
(Eucl. II, 4) $= HA \times A\Theta + \frac{2}{3} HA^2.$

2) Zeitschr. f. Math., hist. Abth. XXIV p. 181 nr. 14. cfr. p. 119 not. 1.

3) ἀναστρέψαντι (Eucl. V def. 17) erit
$N + \Pi : \Pi = \Theta A \times \Theta H + \frac{1}{3} HA^2 : \Theta A \times \Theta H + \frac{1}{3} HA^2 \div \Theta A^2.$
sed erit
$\Theta A \times \Theta H + \frac{1}{3} HA^2 \div \Theta A^2 = \Theta A \times (\Theta H \div \Theta A) + \frac{1}{3} HA^2$
$= \Theta A \times HA + \frac{1}{3} HA^2.$

Figura in F paullo aliter descripta est, numeris additis. 14. $N\Pi$ χωρίον ed. Basil., Torellius. ποτί] πρ^o F; corr. Torellius. Π] ΠA F. συναμφοτερα F; corr. B. 15. $H\Theta A$ F, uulgo; similiter lin. 19, 21, 24, 25. 16. HA] (prius) MA F. ποτί] om. F; corr. B. ΘA] ΘE FV. 21. ὑπὸ τᾶν] υπαν F. 27. Ξ χωρίον ed. Basil., Torellius.

ἔχει συναμφότερον τό τε ὑπὸ τᾶν ΘΑ, ΗΑ καὶ δύο τριταμόρια τοῦ ἀπὸ τᾶς ΗΑ ποτὶ συναμφότερον τό τε ὑπὸ τᾶν ΘΑ, ΗΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ. τὰ δὲ συναμφότερα τό τε ὑπὸ τᾶν ΘΑ, ΗΑ καὶ δύο τριταμόρια τοῦ ἀπὸ τᾶς ΗΑ ποτὶ συναμφότερον τό τε ὑπὸ τᾶν ΘΑ, ΗΑ καὶ τὸ τρίτον μέρος τοῦ ἀπὸ τᾶς ΗΑ τετραγώνου τοῦτον ἔχει τὸν λόγον, ὃν ἔχει συναμφοτέρα ἅ τε ΘΑ καὶ δύο τριταμόρια τᾶς ΗΑ ποτὶ συναμφοτέραν τάν τε ΘΑ καὶ τὸ τρίτον μέρος τᾶς ΗΑ. δῆλον οὖν, ὅτι καὶ τὸ Ξ χωρίον ποτὶ τὸ Π χωρίον τοῦτον ἔχει τὸν λόγον, ὃν συναμφοτέρα ἅ τε ΘΑ καὶ δύο τριταμόρια τᾶς ΗΑ ποτὶ συναμφότερον τάν τε ΘΑ καὶ τὸ τρίτον μέρος τᾶς ΗΑ.

---

1. *ΘΑ*] *ΘΗ* F, ut lin. 3. 4. *ΘΑ*] *ΘΗ* FV, ut lin. 8, 9, 12, 13. 5. *συναμφοτερα* F, uulgo. 6. *ΘΑ, ΗΑ*] *ΘΗΑ* F; corr. A. 11. *Π*] scripsi; *Ν* F, uulgo. 12. *συναμφοτέραν*? 13. *τε*] addidi, om. F, uulgo. In fine *Αρχιμηδους περι ελικων* F.

erit etiam [Eucl. V, 22]

$$\Xi : \Pi = \Theta A \times AH + \tfrac{2}{3} HA^2 : HA \times A\Theta + \tfrac{1}{3} HA^2.$$

sed erit

$$\Theta A \times HA + \tfrac{2}{3} HA^2 : \Theta A \times HA + \tfrac{1}{3} HA^2$$
$$= \Theta A + \tfrac{2}{3} HA : \Theta A + \tfrac{1}{3} HA.$$

adparet igitur, esse etiam

$$\Xi : \Pi = \Theta A + \tfrac{2}{3} HA : \Theta A + \tfrac{1}{3} HA.$$

DE PLANORUM AEQUILIBRIIS.

LIBRI II.

Ἐπιπέδων ἰσορροπιῶν ἢ κέντρα βαρῶν ἐπιπέδων α΄.

α΄. Αἰτούμεθα τὰ ἴσα βάρεα ἀπὸ ἴσων μακέων ἰσορροπεῖν, τὰ δὲ ἴσα βάρεα ἀπὸ τῶν ἀνίσων μακέων μὴ ἰσορροπεῖν, ἀλλὰ ῥέπειν ἐπὶ τὸ βάρος τὸ ἀπὸ τοῦ μείζονος μάκεος.

β΄. εἴ κα βαρέων ἰσορροπεόντων ἀπό τινων μακέων ποτὶ τὸ ἕτερον τῶν βαρέων ποτιτεθῇ, μὴ ἰσορροπεῖν, ἀλλὰ ῥέπειν ἐπὶ τὸ βάρος ἐκεῖνο, ᾧ ποτετέθη.

γ΄. ὁμοίως δὲ καί, εἴ κα ἀπὸ τοῦ ἑτέρου τῶν βαρέων ἀφαιρεθῇ τι, μὴ ἰσορροπεῖν, ἀλλὰ ῥέπειν ἐπὶ τὸ βάρος, ἀφ' οὗ οὐκ ἀφῃρέθη.

δ΄. τῶν ἴσων καὶ ὁμοίων σχημάτων ἐπιπέδων ἐφαρμοζομένων ἐπ' ἄλλαλα καὶ τὰ κέντρα τῶν βαρέων ἐφαρμόζει ἐπ' ἄλλαλα.

ε΄. τῶν δὲ ἀνίσων, ὁμοίων δὲ τὰ κέντρα τῶν βαρέων ὁμοίως ἐσσεῖται κείμενα. ὁμοίως δὲ λέγομες σαμεῖα κεέσθαι ποτὶ τὰ ὁμοῖα σχήματα, ἀφ' ὧν ἐπὶ τὰς ἴσας γωνίας ἀγομέναι εὐθείαι ποιέοντι γωνίας ἴσας ποτὶ τὰς ὁμολόγους πλευράς.

---

3. *ισορροπ* cum comp. *ην* uel *ιν* F, ut lin. 5 bis. 5. *ισσοροπειν* F, ut lin. 7. 8. *τι, μή* Torellius. 9. *εκεινω* F; corr. Riualtus. 12. *ἀφ'*] corr. in *εφ'* manu 1 F. 14. *αλληλα* F; corr. Torellius, ut lin. 15. 15. *ἐφαρμόζειν* Torellius. 17. *ἐσσεῖται*] scripsi; *εσται* per comp. F, uulgo; *εἶμεν* Torellius. 17. *λέγομεν* F, uulgo. 19. *ποιωντι* F, uulgo.

De planorum aequilibriis siue de centris grauitatis planorum I.

I. Supponimus[1]), aequalia pondera ex aequalibus longitudinibus suspensa aequilibritatem seruare, aequalia uero pondera ex inaequalibus longitudinibus suspensa aequilibritatem non seruare, sed ad pondus e maiore longitudine suspensum uergere.

II. Si, ponderibus e quibusdam longitudinibus suspensis aequilibritatem seruantibus, alteri adiiciatur aliquid, aequilibritatem ea non seruare, sed ad pondus, cui adiectum sit aliquid, uergere.

III. Eodem modo si ab altero pondere auferatur aliquid, ea aequilibritatem non seruare, sed ad pondus, a quo nihil ablatum sit, uergere.

IV. Figuris planis et aequalibus et similibus congruentibus, etiam grauitatis centra inter se congruunt.

V. Figurarum uero inaequalium, sed similium centra grauitatis similiter posita erunt. puncta autem in figuris similibus similiter posita esse dicimus, a quibus quae ad aequales angulos ducantur lineae, cum lateribus inter se respondentibus aequales angulos efficiant.

---

1) *Ὁ Ἀρχιμήδης τῶν ἀνισορροπιῶν ἀρχόμενος· αἰτούμεθα, φησί, τὰ ἴσα βάρη ἀπὸ τῶν ἴσων μηκῶν ἰσορροπεῖν· καίτοι τοῦτο μᾶλλον ἀξίωμα ἄν τις προσείποι.* Proclus in Eucl. p. 181, 18.

ϛ'. εἴ κα μεγέθεα ἀπό τινων μακέων ἰσορροπέωντι, καὶ τὰ ἴσα αὐτοῖς ἀπὸ τῶν αὐτῶν μακέων ἰσορροπήσει.

ζ'. παντὸς σχήματος, οὗ κα ἁ περίμετρος ἐπὶ τὰ αὐτὰ κοίλα ᾖ, τὸ κέντρον τοῦ βάρεος ἐντὸς εἶμεν δεῖ τοῦ σχήματος. — τούτων δὲ ὑποκειμένων

α'.

Τὰ ἀπὸ ἴσων μακέων ἰσορροπέοντα βάρεα ἴσα ἐντί.

εἴπερ γὰρ ἄνισα ἐσσεῖται, ἀφαιρεθείσας ἀπὸ τοῦ μείζονος τᾶς ὑπεροχᾶς τὰ λοιπὰ οὐκ ἰσορροπησοῦντι, ἐπειδὴ ἰσορροπεόντων ἀπὸ τοῦ ἑτέρου ἀφῃρήται. ὥστε τὰ ἀπὸ τῶν ἴσων μακέων βάρεα ἰσορροπέοντα ἴσα ἐντί.

β'.

Τὰ ἀπὸ τῶν ἴσων μακέων ἄνισα βάρεα οὐκ ἰσορροπησοῦντι, ἀλλὰ ῥέψει ἐπὶ τὸ μεῖζον.

ἀφαιρεθείσας γὰρ τᾶς ὑπεροχᾶς ἰσορροπησοῦντι, ἐπειδὴ τὰ ἴσα ἀπὸ τῶν ἴσων μακέων ἰσορροπέοντι. ποτιτεθέντος οὖν τοῦ ἀφαιρεθέντος ῥέψει ἐπὶ τὸ μεῖζον, ἐπεὶ ἰσορροπεόντων τῷ ἑτέρῳ ποτετέθη.

---

2. *ἰσορροπήσειν* Torellius. 5. *ειναι* per comp. F; corr. Torellius. *δεῖν* Torellius. 7. *α'*] om. F; corr. Torellius. 11. *τι. ὥστε* Torellius. 13. *β'*] om. F; corr. Torellius. 14. *ἰσορροπησοῦντι*] scripsi; *ισορροπουντι* F, uulgo. 19. *τῶι ετερωι* F. *ποτετέθη*] scripsi; *ποτιτεθηι* F, uulgo; *ποτιτεθῇ τι* Torellius.

VI. Si magnitudines e quibusdam longitudinibus suspensae aequilibritatem seruant, etiam magnitudines iis aequales ex iisdem longitudinibus suspensae aequilibritatem seruabunt.

VII. Cuiuslibet figurae, cuius perimetrus in eandem partem caua est[1]), centrum grauitatis intra figuram esse necesse est. — His autem suppositis

I.

Pondera, quae ex aequalibus longitudinibus suspensa aequilibritatem seruant, aequalia sunt.

nam si inaequalia erunt, excessu a maiore ablato, quae relinquuntur, aequilibritatem non seruabunt, quoniam aequilibritatem seruantibus ab altero aliquid ablatum est [postul. 3]. quare[2]) quae ex aequalibus longitudinibus suspensa aequilibritatem seruant, aequalia sunt.

II.

Pondera inaequalia e longitudinibus aequalibus suspensa aequilibritatem non seruabunt, sed ad maius uergent.

nam ablato excessu aequilibritatem seruabunt, quoniam aequalia ex aequalibus longitudinibus suspensa aequilibritatem seruant [postul. 1]. adiecto igitur, quod ablatum est, ad maius uergent, quoniam aequilibritatem seruantibus alteri aliquid adiectum est [post. 2].

1) Cfr. de sph. et cyl. I def. 2.
2) Nam illud absurdum est ex postul. 1.

γ'.

Τὰ ἄνισα βάρεα ἀπὸ τῶν ἀνίσων μακέων ἰσορροπησοῦντι, καὶ τὸ μεῖζον ἀπὸ τοῦ ἐλάσσονος.

ἔστω ἄνισα βάρεα τὰ *Α*, *Β*, καὶ ἔστω μεῖζον τὸ *Α*, καὶ ἰσορροπεόντων ἀπὸ τῶν *ΑΓ*, *ΓΒ* μακέων. δεικτέον, ὅτι ἐλάσσων ἐστὶν ἁ *ΑΓ* τᾶς *ΓΒ*.

μὴ γὰρ ἔστω ἐλάσσων. ἀφαιρεθείσας δὴ τᾶς ὑπεροχᾶς, ἇ ὑπερέχει τὸ *Α* τοῦ *Β*, ἐπειδὴ ἰσορροπεόντων ἀπὸ τοῦ ἑτέρου ἀφῃρῆται, ῥέψει ἐπὶ τὸ *Β*. οὐ ῥέψει δέ. εἴτε γὰρ ἴσα ἐστὶν ἁ *ΓΑ* τᾷ *ΓΒ*, ἰσορροπησοῦντι· τὰ γὰρ ἴσα ἀπὸ τῶν ἴσων μακέων ἰσορροπέοντι· εἴτε μείζων ἁ *ΓΑ* τᾶς *ΓΒ*, ῥέπει ἐπὶ τὸ *Α*· τὰ γὰρ ἴσα



ἀπὸ τῶν ἀνίσων μακέων οὐκ ἰσορροπέοντι, ἀλλὰ ῥέπει ἐπὶ τὸ ἀπὸ τοῦ μείζονος μάκεος. διὰ δὴ ταῦτα ἐλάσσων ἐστὶν ἁ *ΑΓ* τᾶς *ΓΒ*. — φανερὸν δέ, ὅτι καὶ τὰ ἀπὸ τῶν ἀνίσων μακέων ἰσορροπέοντα ἄνισά ἐντι, καὶ μεῖζόν ἐστι τὸ ἀπὸ τοῦ ἐλάσσονος.

δ'.

Εἴ κα δύο ἴσα μεγέθεα μὴ τὸ αὐτὸ κέντρον τοῦ βάρεος ἔχωντι, τοῦ ἐξ ἀμφοτέρων τῶν μεγεθέων συγ-

---

1. γ'] α' et ς' F. 3. μεῖζον] per comp. F, ut lin. 4. ἐλάσσονος] per comp. (in rasura), F, ut lin. 6, 7. 7. γάρ]

III.

Pondera inaequalia ex inaequalibus longitudinibus suspensa aequilibritatem seruabunt[1]), et maius e minore longitudine suspensum erit.

sint A, B pondera inaequalia, et maius sit A, et e longitudinibus $A\Gamma$, ΓB suspensa aequilibritatem seruent. · demonstrandum $A\Gamma < \Gamma B$.

nam minor ne sit. ablato igitur excessu, quo excedit A magnitudinem B, uergent ad B, quoniam aequilibritatem seruantibus ab altero aliquid ablatum est [postul. 3]. sed non uergent. nam siue $\Gamma A = \Gamma B$, aequilibritatem seruabunt; aequalia enim ex aequalibus longitudinibus suspensa aequilibritatem seruant [postul. 1]. siue $\Gamma A > \Gamma B$, ad A uergent; nam aequalia ex inaequalibus longitudinibus suspensa aequilibritatem non seruant, sed ad pondus ex maiore longitudine suspensum uergunt [postul. 1]. quare erit $A\Gamma < \Gamma B$. — et adparet, etiam pondera, quae ex inaequalibus longitudinibus suspensa aequilibritatem seruent, inaequalia esse, et pondus e minore longitudine suspensum maius.[2])

IV.

Si duae magnitudines aequales idem centrum grauitatis non habent, magnitudinis ex utraque magnitu-

1) H. e. si pondera inaequalia aequilibritatem seruant, longitudines inaequales sunt.

2) Conuersio est propositionis 3.

per comp. F. δή] scripsi; δε F, uulgo. 11. ἰσοῤῥοπεόντι] om. F; corr. Torellius. 14. ἐπί] om. F; corr. Torellius. τό] om. F; corr. Torellius. 16. ισσορροπεοντα F. 18. β' F. 20. εχοντι F, uulgo.

κειμένου μεγέθεος κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ μέσον τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τῶν μεγεθέων τὰ κέντρα τοῦ βάρεος.

ἔστω τοῦ μὲν Α κέντρον τοῦ βάρεος τὸ Α, τοῦ δὲ Β τὸ Β. καὶ ἐπιζευχθεῖσα ἁ ΑΒ τετμάσθω δίχα κατὰ τὸ Γ. λέγω, ὅτι τοῦ ἐξ ἀμφοτέρων τῶν μεγεθέων συγκειμένου μεγέθεος κέντρον ἐστὶ τὸ Γ.

εἰ γὰρ μή, ἔστω τοῦ ἐξ ἀμφοτέρων τῶν Α, Β μεγεθέων κέντρον τοῦ βάρεος τὸ Δ, εἰ δυνατόν. ὅτι γάρ ἐστιν ἐπὶ τᾶς ΑΒ, προδεδείκται. ἐπεὶ οὖν τὸ Δ σαμεῖον κέντρον ἐστὶν τοῦ βάρεος τοῦ ἐκ τῶν Α, Β συγκειμένου μεγέθεος, κατεχομένου τοῦ Δ ἰσορροπήσει. τὰ ἄρα Α, Β μεγέθεα ἰσορροπησοῦντι ἀπὸ τῶν ΑΔ, ΔΒ μακέων· ὅπερ ἀδύνατον· τὰ γὰρ ἴσα ἀπὸ τῶν ἀνίσων μακέων οὐκ ἰσορροπέοντι. δῆλον οὖν, ὅτι τὸ Γ κέντρον ἐστὶ τοῦ βάρεος τοῦ ἐκ τῶν Α, Β συγκειμένου μεγέθεος.



ε'.

Εἴ κα τριῶν μεγεθέων τὰ κέντρα τοῦ βάρεος ἐπ' εὐθείας ἔωντι κείμενα, καὶ τὰ μεγέθεα ἴσον βάρος ἔχωντι, καὶ αἱ μεταξὺ τῶν κέντρων εὐθεῖαι ἴσαι ἔωντι, τοῦ ἐκ πάντων τῶν μεγεθέων συγκειμένου μεγέθεος κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ σαμεῖον, ὃ καὶ τοῦ μέσου τὸ αὐτὸ κέντρον ἐστὶ τοῦ βάρεος.

1. *μεγεθους* F, uulgo, ut lin. 7. *ἐσσεῖται*] scripsi; *ουν* per comp. F; *ἔσται* uulgo. 2. *μεγεϑ* cum comp. *ων* F; corr. Torellius, ut lin. 6, 8. 5. *τετμησθω* F; corr. Torellius. 7. *ἐστὶ τοῦ βάρεος* Torellius. 8. *μεγεθέων συγκειμένου μεγέθους*

dine compositae centrum grauitatis punctum medium erit lineae centra grauitatis magnitudinum iungentis.

sit *A* centrum grauitatis magnitudinis *A*, *B* autem magnitudinis *B*, et ducatur linea *AB* et in puncto *Γ* in duas partes aequales secetur. dico, *Γ* punctum centrum [grauitatis] esse magnitudinis ex utraque magnitudine compositae.

nam si non est, sit punctum *Δ* centrum grauitatis magnitudinis ex utraque magnitudine compositae, si fieri potest. nam [centrum grauitatis] in linea *AB* positum esse, antea demonstratum est.[1]) quoniam igitur punctum *Δ* centrum grauitatis est magnitudinis ex *A*, *B* compositae, aequilibritatem seruabit puncto *Δ* sustento. itaque magnitudines *A*, *B* ex longitudinibus *AΔ*, *ΔB* suspensae aequilibritatem seruabunt; quod fieri non potest. nam pondera aequalia ex longitudinibus inaequalibus suspensa aequilibritatem non seruant [postul. 1]. adparet igitur, punctum *Γ* centrum grauitatis esse magnitudinis ex *A*, *B* compositae.

V.

Si trium magnitudinum centra grauitatis in eadem linea recta posita sunt, et magnitudines eiusdem sunt ponderis, et lineae inter centra [grauitatis] positae aequales sunt, magnitudinis ex omnibus magnitudinibus compositae centrum grauitatis erit punctum, quod idem mediae magnitudinis centrum grauitatis est.

1) Sine dubio in libro *περὶ ζυγῶν*; Quaest. Arch. p. 32.

ed. Basil., Torellius (non ABCD*). 11. *της* F; corr. Torellius. 12. *δέδεικται* Eutocius. 16. *τοῦ*] *το* supra scripto *του* manu 1 F. 18. *ισορροπεωντι* F; corr. Torellius. 21. *γ'* F.

ἔστω τρία μεγέθεα τὰ *Α*, *Β*, *Γ*, κέντρα δὲ αὐτῶν τοῦ βάρεος τὰ *Α*, *Β*, *Γ* σαμεῖα ἐπ' εὐθείας κείμενα. ἔστω δὲ τά τε *Α*, *Β*, *Γ* ἴσα, καὶ αἱ *ΑΓ*, *ΓΒ* ἴσαι εὐθείαι. λέγω, ὅτι τοῦ ἐκ πάντων τῶν μεγεθέων συγκειμένου μεγέθεος κέντρον τοῦ βάρεός ἐστι τὸ *Γ* σαμεῖον. ἐπεὶ γὰρ τὰ *Α*, *Β* μεγέθεα ἴσον βάρος ἔχει, κέν-



τρον ἐσσεῖται τοῦ βάρεος τὸ *Γ* σαμεῖον, ἐπειδὴ ἴσαι ἐντὶ αἱ *ΑΓ*, *ΓΒ*. ἔστιν δὲ καὶ τοῦ *Γ* κέντρον τοῦ βάρεος τὸ *Γ* σαμεῖον. δῆλον οὖν, ὅτι καὶ τοῦ ἐκ πάντων συγκειμένου μεγέθεος κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ σαμεῖον, ὃ καὶ τοῦ μέσου κέντρον ἐστὶ τοῦ βάρεος.

ΠΟΡΙΣΜΑ Α΄.

Ἐκ δὴ τούτου φανερόν, ὅτι, ὁπόσων κα τῷ πλήθει περισσῶν μεγεθέων τὰ κέντρα τοῦ βάρεος ἐπ' εὐθείας ἔωντι κείμενα, εἴ κα τά τε ἴσον ἀπέχοντα ἀπὸ τοῦ μέσου μεγέθεα ἴσον βάρος ἔχωντι, καὶ αἱ εὐθείαι αἱ μεταξὺ τῶν κέντρων αὐτῶν ἴσαι ἔωντι, τοῦ ἐκ πάντων τῶν μεγεθέων συγκειμένου μεγέθεος κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ σαμεῖον, ὃ καὶ τοῦ μέσου αὐτῶν κέντρον ἐστὶ τοῦ βάρεος.

---

2. σημεια F (qui in hoc libro fere σαμεῖον seruauit); corr. Torellius. 9. οὖν] addidi; om. F, uulgo. 13. [ο] mg. F. 18. τῶν κέντρων] Torellius; του κεντρου F, uulgo.

sint tres magnitudines A, B, Γ, et centra grauitatis earum A, B, Γ puncta in eadem linea recta posita. et magnitudines A, B, Γ aequales sint, et lineae $A\Gamma$, ΓB aequales. dico, magnitudinis ex omnibus magnitudinibus compositae centrum grauitatis esse punctum Γ.

nam quoniam magnitudines A, B aequale pondus habent, centrum grauitatis erit punctum Γ, quoniam $A\Gamma = \Gamma B$ [prop. 4]. sed Γ etiam magnitudinis Γ centrum grauitatis est. adparet igitur, etiam magnitudinis ex omnibus compositae centrum grauitatis fore punctum, quod idem mediae magnitudinis centrum grauitatis est.

COROLLARIUM I.

Hinc manifestum est, quotcunque magnitudinum imparium numero centra grauitatis in eadem linea recta posita sint, si et magnitudines aequali spatio a media distantes aequale pondus habeant, et lineae inter centra earum positae aequales sint, magnitudinis ex omnibus magnitudinibus compositae centrum grauitatis fore punctum, quod idem mediae earum centrum grauitatis sit.

ΠΟΡΙΣΜΑ Β΄.

Εἴ κα καὶ ἄρτια ἔωντι τῷ πλήθει τὰ μεγέθεα, καὶ τὰ κέντρα τοῦ βάρεος αὐτῶν ἐπ' εὐθείας ἔωντι



κείμενα, καὶ τὰ μέσα αὐτῶν καὶ τὰ ἴσα ἀπέχοντα ἀπ' αὐτῶν ἴσον βάρος ἔχωντι, καὶ αἱ μεταξὺ τῶν κέντρων εὐθεῖαι ἴσαι ἔωντι, τοῦ ἐκ πάντων τῶν μεγεθέων συγκειμένου μεγέθεος κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ μέσον τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ κέντρα τοῦ βάρεος τῶν μεγεθέων, ὡς ὑπογεγράπται.

ϛ΄.

Τὰ σύμμετρα μεγέθεα ἰσορροπέοντι ἀπὸ μακέων ἀντιπεπονθότως τὸν αὐτὸν λόγον ἐχόντων τοῖς βάρεσιν.

ἔστω σύμμετρα μεγέθεα τὰ Α, Β, ὧν κέντρα τὰ Α, Β· καὶ μᾶκος ἔστω τι τὸ ΕΔ, καὶ ὡς τὸ Α ποτὶ τὸ Β, οὕτως τὸ ΔΓ μᾶκος ποτὶ τὸ ΓΕ μᾶκος· δεικτέον, ὅτι τοῦ ἐξ ἀμφοτέρων τῶν Α, Β συγκειμένου μεγέθεος κέντρον ἐστὶ τοῦ βάρεος τὸ Γ.

ἐπεὶ γάρ ἐστιν ὡς τὸ Α ποτὶ τὸ Β, οὕτως τὸ ΔΓ ποτὶ τὸ ΓΕ, τὸ δὲ Α τῷ Β σύμμετρον, καὶ τὸ ΓΔ ἄρα τῷ ΓΕ σύμμετρον, τουτέστιν εὐθεῖα

---

4. *καὶ τὰ ἴσα ἀπέχοντα ἀπ' αὐτῶν*] addidi; om. F, uulgo; *καὶ ἐφ' ἑκάτερα τῶν μέσων* Barrowius; *πάντα τὰ μέσα* Nizzius. 5. *ἔχωντι*] scripsi; *εχοντι* F, uulgo. 10. *δ'* F. 11. *ισορρο*-

COROLLARIUM II.

Etiam si magnitudines pares sunt numero, et centra earum grauitatis in eadem linea recta posita sunt, et mediae magnitudines, quaeque ab iis aequali spatio distant, aequale pondus habent, et lineae inter centra [grauitatis] positae aequales sunt, magnitudinis ex omnibus magnitudinibus compositae centrum grauitatis erit medium punctum lineae centra grauitatis magnitudinum iungentis, sicut infra descriptum est.[1])

VI.

Magnitudines commensurabiles aequilibritatem seruant suspensae ex longitudinibus, quae in contraria proportione sunt ac pondera.

commensurabiles magnitudines sint A, B, quarum centra [grauitatis] sint puncta A, B. et longitudo sit aliqua $E\Delta$, et sit $A : B = \Delta\Gamma : \Gamma E$. demonstrandum, punctum Γ centrum grauitatis esse magnitudinis ex utraque simul A, B compositae.

nam quoniam est $A : B = \Delta\Gamma : \Gamma E$, et A, B commensurabiles sunt, etiam longitudines, h. e. lineae rectae, $\Gamma\Delta$, ΓE commensurabiles sunt [Eucl. X, 11];

1) Cfr. uol. I p. 13 not. 1. hic semel moneo, sermonem et disputandi rationem, quae in his duobus libris occurrat, ab ea, qua in ceteris libris usus sit Archimedes, aliquantum discrepare. hoc utrum recensioni posteriori debeatur, an ideo factum sit, quod adolescens hos libros ediderit, longioris disputationis est.

κεωντι F; corr. Riualtus. 12. αντιπεπονθοτων F (αν- supra scripsit manus 1); corr. Torellius. 15. προς per comp. F; corr. Torellius, ut lin. 16. 16. οὕτως] per comp. F, ut infra saepius.

τᾷ εὐθείᾳ, ὥστε τῶν ΕΓ, ΓΔ ἐστι κοινὸν μέτρον. ἔστω δὴ τὸ Ν, καὶ κείσθω τᾷ μὲν ΕΓ ἴσα ἑκατέρα τᾶν ΔΗ, ΔΚ, τᾷ δὲ ΔΓ ἴσα ἁ ΕΛ. καὶ ἐπεὶ ἴσα ἁ ΔΗ



τᾷ ΓΕ, ἴσα καὶ ἁ ΔΓ τᾷ ΕΗ. ὥστε καὶ ἁ ΛΕ ἴσα τᾷ ΕΗ. διπλασία ἄρα ἁ μὲν ΛΗ τᾶς ΔΓ, ἁ δὲ ΗΚ τᾶς ΓΕ. ὥστε τὸ Ν καὶ ἑκατέραν τᾶν ΛΗ, ΗΚ μετρεῖ, ἐπειδήπερ καὶ τὰ ἡμίσεα αὐτᾶν. καὶ ἐπεί ἐστιν, ὡς τὸ Α ποτὶ τὸ Β, οὕτως ἁ ΔΓ ποτὶ ΓΕ, ὡς δὲ ἁ ΔΓ ποτὶ ΓΕ, οὕτως ἁ ΛΗ ποτὶ ΗΚ· διπλασία γὰρ ἑκατέρα ἑκατέρας· καὶ ὡς ἄρα τὸ Α ποτὶ τὸ Β, οὕτως ἁ ΛΗ ποτὶ ΗΚ. ὁσαπλασίων δέ ἐστιν ἁ ΛΗ τᾶς Ν, τοσαυταπλασίων ἔστω τὸ Α τοῦ Ζ. ἔστιν ἄρα ὡς ἁ ΛΗ ποτὶ Ν, οὕτως τὸ Α ποτὶ Ζ. ἔστι δὲ καὶ ὡς ἁ ΚΗ ποτὶ ΛΗ, οὕτως τὸ Β ποτὶ Α. δι' ἴσου ἄρα ἐστὶν ὡς ἁ ΚΗ ποτὶ Ν, οὕτως τὸ Β ποτὶ Ζ. ἰσάκις ἄρα πολλαπλασίων ἐστὶν ἁ ΚΗ τᾶς Ν καὶ τὸ Β τοῦ Ζ. ἐδείχθη δὲ τοῦ Ζ καὶ τὸ Α πολλαπλάσιον ἐόν. ὥστε τὸ Ζ τῶν Α, Β κοινόν ἐστι μέτρον. διαιρεθείσας οὖν τᾶς μὲν ΛΗ εἰς τὰς τᾷ Ν ἴσας, τοῦ δὲ Α εἰς τὰ τῷ Ζ ἴσα, τὰ ἐν τᾷ ΛΗ τμάματα ἰσομεγέθεα τᾷ Ν ἴσα ἐσσεῖται τῷ πλήθει τοῖς ἐν τῷ Α τμαμά-

3. *τᾶν*] Torellius; *των* per comp. F, ut lin. 6. 6. *εκατερ*

quare longitudinum $E\Gamma$, $\Gamma\Delta$ communis est mensura. sit igitur N, et ponatur $\Delta H = \Delta K = E\Gamma$ et $E\Lambda = \Delta\Gamma$. et quoniam est $\Delta H = \Gamma E$, erit etiam $\Delta\Gamma = EH$; quare etiam $\Lambda E = EH$. itaque $\Lambda H = 2\,\Delta\Gamma$ et $HK = 2\,\Gamma E$. quare N etiam utramque lineam ΛH, HK metitur, quia dimidias metitur [Eucl. X, 12]. et quoniam est $A : B = \Delta\Gamma : \Gamma E$, sed $\Delta\Gamma : \Gamma E = \Lambda H : HK$ (nam utraque [linearum ΛH, HK] duplo maior est utraque [linearum $\Delta\Gamma$, ΓE]), erit etiam $A : B = \Lambda H : HK$. quoties autem linea N in linea ΛH continetur, toties contineatur Z in A. est igitur [Eucl. V def. 5] $\Lambda H : N = A : Z$. sed etiam $KH : \Lambda H = B : A$ [Eucl. V, 7 πόρισμα]. quare ex aequali [Eucl. V, 22] $KH : N = B : Z$. itaque quoties N in KH continetur, toties etiam Z in B continetur. sed demonstratum est, Z etiam A magnitudinem metiri; quare Z communis mensura est magnitudinum A, B. diuisa igitur linea ΛH in partes lineae N aequales, et magnitudine A in partes magnitudini Z aequales, partes lineae ΛH aequales lineae N numero aequales erunt partibus magnitudinis A magnitudini Z aequa-

---

cum comp. *ον* F; corr. Torellius. 7. *ημιση* F, uulgo. 8. *προς* per comp. F; corr. Torellius, ut semper in hac pagina. 12. *τοῦ*] *το* F. 17. *πολλαπλασι* cum comp. *ων* F; corr. Torellius. *ον* F, uulgo. 19. *τᾶ*] om. F; corr. BC. 20. *ισομεγεθη* F, uulgo. 21. *ἴσα*] *ισον* F; corr. BC. *ἐσσεῖται*] scripsi; *εσται* per comp. F; *ἐστι* uulgo. *τμαμασιν* F, uulgo.

τεσσιν ἴσοις ἐοῦσιν τῷ Ζ. ὥστε ἂν ἐφ' ἕκαστον τῶν τμαμάτων τῶν ἐν τᾷ ΛΗ ἐπιτεθῇ μέγεθος ἴσον τῷ Ζ τὸ κέντρον τοῦ βάρεος ἔχον ἐπὶ μέσου τοῦ τμάματος, τά τε πάντα μεγέθεα ἴσα ἐντὶ τῷ Α, καὶ τοῦ ἐκ πάντων συγκειμένου κέντρον ἐσσεῖται τοῦ βάρεος τὸ Ε. ἄρτιά τε γάρ ἐστι τὰ πάντα τῷ πλήθει, καὶ τὰ ἐφ' ἑκάτερα τοῦ Ε ἴσα τῷ πλήθει διὰ τὸ ἴσαν εἶμεν τὰν ΛΕ τᾷ ΗΕ. ὁμοίως δὲ δειχθησέται, ὅτι καὶ εἴ κα ἐφ' ἕκαστον τῶν ἐν τᾷ ΚΗ τμαμάτων ἐπιτεθῇ μέγεθος ἴσον τῷ Ζ κέντρον τοῦ βάρεος ἔχον ἐπὶ τοῦ μέσου τοῦ τμάματος, τά τε πάντα μεγέθεα ἴσα ἐσσεῖται τῷ Β, καὶ τοῦ ἐκ πάντων συγκειμένου κέντρον τοῦ βάρεος ἐσσεῖται τὸ Δ. ἐσσεῖται οὖν τὸ μὲν Α ἐπικείμενον κατὰ τὸ Ε, τὸ δὲ Β κατὰ τὸ Δ. ἐσσεῖται δὴ μεγέθεα ἴσα ἀλλάλοις ἐπ' εὐθείας κείμενα, ὧν τὰ κέντρα τοῦ βάρεος ἴσα ἀπ' ἀλλάλων διέστακεν, συγκείμενα ἄρτια τῷ πλήθει. δῆλον οὖν, ὅτι τοῦ ἐκ πάντων συγκειμένου μεγέθεος κέντρον ἐστὶ τοῦ βάρεος ἁ διχοτομία τᾶς εὐθείας τᾶς ἐχούσας τὰ κέντρα τῶν μέσων μεγεθέων. ἐπεὶ δ' ἴσαι ἐντὶ ἁ μὲν ΛΕ τᾷ ΓΔ, ἁ δὲ ΕΓ τᾷ ΔΚ, καὶ ὅλα ἄρα ἁ ΛΓ ἴσα τᾷ ΓΚ. ὥστε τοῦ ἐκ πάντων μεγέθεος κέντρον τοῦ βά-

1. ουσιν F, uulgo; ἐόντεσσιν? 2. τῷ] supra scripto ο manu 1 F. 3. εχο cum comp. ον F. 6. καὶ τὰ ἐφ' ἑκάτερα τοῦ Ε ἴσα τῷ πλήθει] addidi; om. F, uulgo. 7. ειναι per comp. F; corr. Torellius. 8. καί] scripsi; καν F, uulgo. 13. ἐσσεῖται] (alt.) scripsi; εσται per comp. F, ut lin. 14. 15. αλληλοις F; corr. Torellius, ut lin. 16. 20. μεγεθων F; corr. Torellius. ἐντί] scripsi; εἰσιν per comp. F, uulgo.

libus. itaque si in singulis partibus lineae $\varDelta H$ magnitudo ponitur magnitudini Z aequalis centrum grauitatis in medio partis habens, omnes simul magnitudines magnitudini A aequales sunt, et magnitudinis ex omnibus compositae centrum grauitatis erit punctum E. nam et omnes simul pares sunt numero, et quae in utraque parte puncti E positae sunt, numero aequales, quia $\varDelta E = HE$ [tum u. prop. 5 coroll. 2].[1]) similiter demonstrabimus, etiam si in singulis partibus lineae KH [lineae N aequalibus] magnitudo aequalis magnitudini Z ponatur centrum grauitatis in medio partis habens, omnes simul magnitudines magnitudini B aequales erunt, et centrum grauitatis magnitudinis ex omnibus compositae erit punctum $\varDelta$.[2]) itaque magnitudo A in E puncto posita erit, magnitudo autem B in $\varDelta$. et magnitudines quaedam inter se aequales in eadem linea recta positae erunt, quarum centra grauitatis aequali spatio inter se distent, omnes simul sumptae[3]) numero pares. adparet igitur, centrum grauitatis magnitudinis ex omnibus compositae medium fore punctum lineae eius, in qua centra magnitudinum mediarum[4]) posita sint. et quoniam $\varLambda E = \varGamma\varDelta$, et $E\varGamma = \varDelta K$, erit igitur etiam $\varLambda\varGamma = \varGamma K$. quare magnitudinis ex omnibus compositae centrum

---

1) Nam et omnes magnitudini Z aequales sunt, et spatia, quibus centra in eadem linea posita distant, lineae N aequalia.

2) Nam Z metitur magnitudinem B; tum u. prop. 5 coroll. 2 et not. 1.

3) Uereor, ne in uerbo συγκείμενα lin. 16 mendum lateat.

4) Ex prop. 5 coroll. 2; nam punctum medium totius lineae centra iungentis idem medium est lineae centra mediarum iungentis.

ρεος τὸ Γ σαμεῖον. τοῦ μὲν ἄρα Α κειμένου κατὰ τὸ Ε, τοῦ δὲ Β κατὰ τὸ Δ ἰσορροπησοῦντι κατὰ τὸ Γ.

ζ'.

Καὶ τοίνυν εἴ κα ἀσύμμετρα ἔωντι τὰ μεγέθεα, ὁμοίως ἰσορροπησοῦντι ἀπὸ μακέων ἀντιπεπονθότως τὸν αὐτὸν λόγον ἐχόντων τοῖς μεγέθεσιν.

ἔστω ἀσύμμετρα μεγέθεα τὰ ΑΒ, Γ, μάκεα δὲ τὰ ΔΕ, ΕΖ. ἐχέτω δὲ τὸ ΑΒ ποτὶ τὸ Γ τὸν αὐτὸν λόγον, ὃν καὶ τὸ ΕΔ ποτὶ τὸ ΕΖ μᾶκος. λέγω, ὅτι τοῦ ἐξ ἀμφοτέρων τῶν ΑΒ, Γ κέντρον τοῦ βάρεός ἐστι τὸ Ε.

εἰ γὰρ μὴ ἰσορροπήσει τὸ ΑΒ τεθὲν ἐπὶ τῷ Ζ τῷ Γ τεθέντι ἐπὶ τῷ Δ, ἤτοι μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ



ἢ ὥστε ἰσορροπεῖν τῷ Γ, ἢ οὔ. ἔστω μεῖζον. καὶ ἀφῃρήσθω ἀπὸ τοῦ ΑΒ ἔλασσον τᾶς ὑπεροχᾶς, ᾇ μεῖζόν ἐστι τὸ ΑΒ τοῦ Γ ἢ ὥστε ἰσορροπεῖν, ὥστε [τὸ] λοιπὸν τὸ Α σύμμετρον εἶμεν τῷ Γ. ἐπεὶ οὖν σύμμετρά ἐστι τὰ Α, Γ μεγέθεα, καὶ ἐλάσσονα λόγον ἔχει τὸ Α ποτὶ τὸ Γ, ἢ ἁ ΔΕ ποτὶ ΕΖ, οὐκ ἰσορροπησοῦντι τὰ Α, Γ ἀπὸ τῶν ΔΕ, ΕΖ μακέων, τεθέντος

3. ε' F. 5. αντιπεπονθοτ cum comp. ων F; corr. ed. Basil. 13. τῷ Δ] scripsi; το Δ F, uulgo. 14. ἢ] addidi cum B; om. F, uulgo. Γ, ἢ] ΓΗ F. τῷ Γ om. Eu-

grauitatis est punctum Γ. itaque magnitudine A in puncto E posita, B autem in Δ, ex puncto Γ suspensae aequilibritatem seruabunt.

VII.

Iam etiam si incommensurabiles sunt magnitudines, eodem modo aequilibritatem seruabunt ex longitudinibus suspensae, quae in contraria proportione sunt ac magnitudines.

magnitudines incommensurabiles sint AB, Γ, longitudines autem aliquae ΔE, EZ, et sit $AB : \Gamma = E\Delta : EZ$. dico, centrum grauitatis magnitudinis ex utraque AB, Γ compositae esse punctum E.[1])

nam si aequilibritatem non seruabunt AB magnitudo in puncto Z posita, Γ uero in puncto Δ, aut maior erit AB magnitudine Γ, quam ut aequilibritatem seruet, aut non maior. sit maior, et a magnitudine AB auferatur magnitudo minor excessu, quo AB magnitudine Γ maior est, quam ut aequilibritatem seruet, ita ut, quae relinquitur magnitudo A, commensurabilis sit magnitudini Γ [u. Eutocius]. quoniam igitur A, Γ magnitudines commensurabiles sunt, et est $A : \Gamma < \Delta E : EZ$, magnitudines A, Γ ex longitudinibus ΔE, EZ suspensae, ita ut A in puncto Z ponatur, Γ autem in puncto Δ, aequilibritatem non

1) Sc. magnitudine AB in Z posita, Γ autem in Δ.

tocius. 16. μεῖζον] cum Eutocio; μειζων F, uulgo. ἤ] addidi; om. F, uulgo. 17. τό] deleo cum Eutocio. ειναι per comp. F; corr. Torellius. τῷ] το F; corr. Torellius. 19. Γ, ἤ] $\overline{\Gamma H}$ F. προς per comp. F; corr. Torellius. ισορροπησουντι F.

τοῦ μὲν Α ἐπὶ τῷ Ζ, τοῦ δὲ Γ ἐπὶ τῷ Δ. διὰ ταὐτὰ δ' οὐδ' εἰ τὸ Γ μεῖζόν ἐστιν ἢ ὥστε ἰσορροπεῖν τῷ ΑΒ.

η΄.

Εἴ κα ἀπό τινος μεγέθεος ἀφαιρεθῇ τι μέγεθος μὴ τὸ αὐτὸ κέντρον ἔχον τῷ ὅλῳ, τοῦ λοιποῦ μεγέθεος κέντρον ἐστὶ τοῦ βάρεος, ἐκβληθείσας τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ κέντρα τῶν βαρέων τοῦ τε ὅλου μεγέθεος καὶ τοῦ ἀφῃρημένου ἐπὶ τὰ αὐτά, ἐφ' ἃ τὸ κέντρον τοῦ ὅλου μεγέθεος, καὶ ἀπολαφθείσας τινὸς ἀπὸ [τᾶς] ἐκβληθείσας τᾶς ἐπιζευγνυούσας τὰ εἰρημένα κέντρα, ὥστε τὸν αὐτὸν ἔχειν λόγον ποτὶ τὰν μεταξὺ τῶν κέντρων, ὃν ἔχει τὸ βάρος τοῦ ἀφῃρημένου μεγέθεος ποτὶ τὸ τοῦ λοιποῦ βάρος, τὸ πέρας τᾶς ἀπολαφθείσας.

ἔστω μεγέθεός τινος τοῦ ΑΒ κέντρον τοῦ βάρεος τό Γ. καὶ ἀφῃρήσθω ἀπὸ τοῦ ΑΒ τὸ ΑΔ, οὗ κέντρον τοῦ βάρεος ἔστω τὸ Ε. ἐπιζευχθείσας δὲ τᾶς ΕΓ καὶ ἐκβληθείσας ἀπολελάφθω ἁ ΓΖ ποτὶ τὰν ΓΕ λόγον ἔχουσα τὸν αὐτόν, ὃν ἔχει τὸ ΑΔ μέγεθος ποτὶ τὸ ΔΗ. δεικτέον, ὅτι τοῦ ΔΗ μεγέθεος κέντρον τοῦ βάρεός ἐστι τὸ Ζ σαμεῖον.

μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τὸ Θ σαμεῖον. ἐπεὶ οὖν τοῦ μὲν ΑΔ μεγέθεος κέντρον τοῦ βάρεός ἐστι τὸ Ε, τοῦ δὲ ΔΗ τὸ Θ σαμεῖον, τοῦ ἐξ ἀμφοτέρων τῶν ΑΔ, ΔΗ μεγεθέων κέντρον τοῦ βάρεος ἐσσεῖται

---

1. τῷ] scripsi cum B; το F, uulgo (bis). 2. τῷ ΑΒ] Torellius; το Α F, uulgo. 3. ϛ΄ F. 8. ἐφ' ἃ] scripsi; εφ ὁ F, uulgo; ἐπί Torellius. 10. τᾶς] deleo. 11. προς την (compp.) F; corr. Torellius. 12. των αφηρημενων μεγεθων F; corr. ed. Basil. 13. προς per comp. F; corr. Torellius. 24. αμφοτερου F, uulgo. 25. βαρεως F.

seruabunt [prop. 6]. et eadem de causa hoc ne tum quidem fiet, si Γ magnitudo maior est, quam ut cum AB aequilibritatem seruet.[1])

VIII.

Si a magnitudine aliqua magnitudo aufertur, cui idem centrum non est, quod toti, reliquae magnitudinis centrum grauitatis est: producta linea centra et totius et ablatae magnitudinis iungenti in eandem partem, in qua est centrum totius magnitudinis, et ablata linea a producta linea centra illa iungenti, ita ut eandem habeat rationem ad lineam inter centra positam, quam pondus magnitudinis ablatae ad pondus reliquae, terminus ablatae.

magnitudinis cuiusdam AB centrum grauitatis sit Γ. et ab AB auferatur $A\Delta$, cuius centrum grauitatis sit E. ducta autem linea $E\Gamma$ et producta [uersus Γ] abscindatur ΓZ, ita ut sit $\Gamma Z : \Gamma E = A\Delta : \Delta H$. demonstrandum, centrum grauitatis magnitudinis ΔH esse punctum Z.

nam ne sit, uerum, si fieri potest, sit punctum Θ. quoniam igitur magnitudinis $A\Delta$ centrum grauitatis est E, magnitudinis autem ΔH punctum Θ, magnitudinis ex utraque magnitudine $A\Delta$, ΔH compositae

1) Demonstratio imperfecta et paullo obscurior ita supplenda est: cum $A : \Gamma < \Delta E : EZ$, ad punctum Δ uergent, quod fieri non potest, cum minus excessu ablatum sit ab AB. eodem modo ratiocinandum, si Γ maior est. quare cum AB neque maior sit neque minor, demonstratum est, quod proposuimus.

ἐπὶ τᾶς ΕΘ τμαθείσας ὥστε τὰ τμάματα αὐτᾶς ἀντιπεπονθέμεν κατὰ τὸν αὐτὸν λόγον τοῖς μεγέθεσιν. ὥστε οὐκ ἐσσεῖται τὸ Γ σαμεῖον κατὰ τὰν ἀνάλογον



τομὰν τᾷ εἰρημένᾳ. οὐκ ἄρα ἐστὶ τὸ Γ κέντρον τοῦ ἐκ τῶν ΑΔ, ΔΗ συγκειμένου μεγέθεος, τουτέστι τοῦ ΑΒ. ἔστι δέ· ὑπέκειτο γάρ. οὐκ ἄρα ἐστὶ τὸ Θ κέντρον βάρεος τοῦ ΔΗ μεγέθεος.

θ'.

Παντὸς παραλληλογράμμου τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰς διχοτομίας τᾶν κατ' ἐναντίον τοῦ παραλληλογράμμου πλευρᾶν.

ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, ἐπὶ δὲ τὰν διχοτομίαν τᾶν ΑΒ, ΓΔ ἁ ΕΖ. φαμὶ δή, ὅτι τοῦ ΑΒΓΔ παραλληλογράμμου τὸ κέντρον τοῦ βάρεος ἐσσεῖται ἐπὶ τᾶς ΕΖ.

μὴ γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω τὸ Θ, καὶ ἄχθω παρὰ τὰν ΑΒ ἁ ΘΙ. τᾶς δὲ δὴ ΕΒ διχοτομουμένας αἰεὶ ἐσσεῖται ποκὰ ἁ καταλειπομένα ἐλάσσων τᾶς ΙΘ. καὶ διῃρήσθω ἑκατέρα τᾶν ΑΕ, ΕΒ εἰς τὰς τᾷ ΕΚ

1. αντιπεποθενμεν F. 3. ἐσσεῖται] scripsi; εσται per comp. F, uulgo. 4. κέντρον τοῦ βάρεος Torellius. 7. βαρους . . μεγεθους F, uulgo. 8. ζ' F. 11. τας . . πλευρας F; corr. Torellius. 14. τᾶν] των per comp. F; corr. Torel-

centrum grauitatis positum erit in linea $E\Theta$ ita diuisa, ut partes eius in contraria ratione sint ac magnitudines [prop. 6 — 7]. [sed punctum Γ positum est in linea EZ ita diuisa, ut partes eius in contraria ratione sint ac magnitudines].[1]) quare punctum Γ in sectione ei, quam commemorauimus, respondenti positum non erit. quare punctum Γ magnitudinis ex $A\Delta$, ΔH compositae, h. e. magnitudinis AB, centrum non est. uerum est; hoc enim suppositum est. itaque punctum Θ magnitudinis ΔH centrum grauitatis non est.

IX.

Cuiusuis parallelogrammi centrum grauitatis in ea linea positum est, quae media puncta laterum sibi oppositorum parallelogrammi iungit.

pareallelogrammum sit $AB\Gamma\Delta$, et ad medium punctum laterum AB, $\Gamma\Delta$ [ducta sit] EZ. dico igitur, centrum grauitatis parallelogrammi $AB\Gamma\Delta$ in linea EZ fore.

nam ne sit, uerum, si fieri potest, sit Θ, et ducatur ΘI lineae AB parallela. itaque linea EB semper deinceps in duas partes aequales diuisa, quae relinquitur, aliquando minor erit linea $I\Theta$. et utraque linea AE, EB in partes lineae EK aequales diuidatur,

1) Ex hypothesi; neque fieri potest, ut sit $\Gamma Z : \Gamma E$ aequalis rationi partium lineae $\Gamma\Theta$. ceterum adparet, ante ὥστε lin. 3 lacunam esse, quam hunc in modum expleo: τὸ δὲ Γ ἐπὶ τᾶς EZ ἐστι τμαθείσας, ὥστε τὰ τμάματα ἀντιπεπονθέμεν τοῖς μεγέθεσιν.

lius, ut lin. 20. 16. εσται per comp. F, uulgo. 19. ποκά] Torellius; ποια F, uulgo. ἁ] addidi; om. F, uulgo.

ἴσας, καὶ ἀπὸ τῶν κατὰ τὰς διαιρεσίας σαμείων ἄχθωσαν παρὰ τὰν ΕΖ. διαιρεθησέται δὴ τὸ ὅλον παραλληλόγραμμον εἰς παραλληλόγραμμά τινα ἴσα καὶ



ὁμοῖα τῷ ΚΖ. τῶν οὖν παραλληλογράμμων τῶν ἴσων καὶ ὁμοίων τῷ ΚΖ ἐφαρμοζομένων ἐπ' ἄλλαλα καὶ τὰ κέντρα τοῦ βάρεος αὐτῶν ἐπ' ἄλλαλα πεσοῦνται. ἐσσοῦνται δὴ μεγέθεά τινα, παραλληλόγραμμα ἴσα τῷ ΚΖ, ἄρτια τῷ πλήθει, καὶ τὰ κέντρα τοῦ βάρεος αὐτῶν ἐπ' εὐθείας κείμενα, καὶ τὰ μέσα ἴσα, καὶ πάντα τὰ ἐφ' ἑκάτερα τῶν μέσων αὐτά τε ἴσα ἐντί, καὶ αἱ μεταξὺ τῶν κέντρων εὐθείαι ἴσαι. τοῦ ἐκ πάντων αὐτῶν ἄρα συγκειμένου μεγέθεος τὸ κέντρον ἐσσείται τοῦ βάρεος ἐπὶ τᾶς εὐθείας τᾶς ἐπιζευγνυούσας τὰ κέντρα τοῦ βάρεος τῶν μέσων χωρίων. οὐκ ἔστι δέ· τὸ γὰρ Θ ἐκτός ἐστι τῶν μέσων παραλληλογράμμων. φανερὸν οὖν, ὅτι ἐπὶ τᾶς ΕΖ εὐθείας τὸ κέντρον ἐστὶ τοῦ βάρεος τοῦ ΑΒΓΔ παραλληλογράμμου.

ι'.

Παντὸς παραλληλογράμμου τὸ κέντρον τοῦ βάρεός ἐστι τὸ σαμεῖον, καθ' ὃ αἱ διαμέτροι συμπίπτοντι.

ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, καὶ ἐν αὐτῷ ἁ ΕΖ δίχα τέμνουσα τὰς ΑΒ, ΓΔ, ἁ δὲ ΚΛ τὰς ΑΓ,

1. διαιρεσ cum comp. ης F; διαιρέσεις uulgo. 3. τινα]

ἢ τὸ ΑΒΓ τρίγωνον ποτὶ τὸ Κ. ἀλλ' ἔστι, ὡς τὸ ΑΒΓ τρίγωνον ποτὶ τὸ Κ, οὕτως ἁ ΓΖ ποτὶ ΖΔ. καὶ τὸ ἐγγεγραμμένον ἄρα εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα μείζονα λόγον ἔχει, ἢ ἁ ΓΖ ποτὶ ΖΔ, τουτέστιν ἁ ΛΕ ποτὶ ΕΘ. ἐχέτω οὖν ἁ ΜΕ ποτὶ ΕΘ τὸν αὐτὸν λόγον τὸν τοῦ εὐθυγράμμου ποτὶ τὰ τμάματα. ἐπεὶ οὖν τὸ μὲν Ε κέντρον τοῦ ὅλου τμάματος, τοῦ δὲ ἐγγεγραμμένου ἐν αὐτῷ εὐθυγράμμου τὸ Θ, δῆλον, ὅτι λοιποῦ τοῦ συγκειμένου μεγέθεος ἐκ τῶν περιλειπομένων τμαμάτων τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐκβληθείσας τᾶς ΘΕ καὶ ἀπολαφθείσας τινὸς εὐθείας, ἃ λόγον ἔχει ποτὶ τὰν ΘΕ, ὃν τὸ ἐγγεγραμμένον εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα. ὥστε εἴη κα τοῦ συγκειμένου μεγέθεος ἐκ τῶν περιλειπομένων τμαμάτων κέντρον τοῦ βάρεος τὸ Μ σαμεῖον· ὅπερ ἄτοπον. τᾶς γὰρ διὰ τοῦ Μ παρὰ τὰν ΒΔ ἀγομένας ἐπὶ ταὐτὰ ἐσσοῦνται πάντα τὰ περι-

4. ἀλλ' ἔστι ad τὸ Κ lin. 5 om. F; corr. ed. Basil. 5. προς

allela ducatur linea $\Gamma\Lambda$. adparet autem, figuram inscriptam segmento ad spatia reliqua maiorem rationem habere, quam triangulum $AB\Gamma$ ad K.[1]) est autem $\Gamma Z : Z\Delta = AB\Gamma : K$. quare figura inscripta ad segmenta reliqua maiorem habet rationem quam $\Gamma Z : Z\Delta$, h. e. quam $\Lambda E : E\Theta$.[2]) habeat igitur $ME : E\Theta$ ipsam rationem, quam habet figura rectilinea ad segmenta.[3]) iam quoniam punctum E centrum grauitatis est totius segmenti, punctum Θ autem figurae ei inscriptae, adparet[4]), reliquae magnitudinis ex segmentis reliquis compositae centrum grauitatis inueniri producta linea ΘE et linea quadam ab ea abscisa, quae ad lineam ΘE eam rationem habeat, quam figura inscripta ad segmenta reliqua. quare punctum M centrum grauitatis est magnitudinis ex segmentis reliquis compositae; quod absurdum est. nam omnia segmenta reliqua in eadem parte lineae per M lineae $B\Delta$ par-

1) Nam figura inscripta maior est triangulo $AB\Gamma$, segmenta uero minora spatio K.

2) U. Zeitschr. f. Math., hist. Abth. XXIV p. 178 nr. 2.

3) Itaque, cum ratio maior esse debeat, quam $\Lambda E : E\Theta$, punctum M extra punctum Λ cadere necesse est.

4) Ex I, 8.

---

per comp. F; corr. Torellius, ut lin. 6, 7, 8, 9 bis, 16. 8. $Z\Delta$] Z om. F. 10. E] B F. 12. λοιπ cum comp. ον F; corr. A. 17. κα] scripsi; κατα F, uulgo; καί Torellius; ἂν κατά B. 18. κεντρων F. 19. τᾶς] Torellius; τα F, uulgo. M εὐθείας Torellius. 20. εσσουντι F, uulgo.

λειπόμενα τμάματα. δῆλον οὖν, ὅτι ἐπὶ τᾶς ΒΔ τὸ κέντρον ἐστὶ τοῦ βάρεος.

ε΄.

Εἴ κα εἰς τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς εὐθύγραμμον ἐγγραφῇ γνωρίμως, τοῦ ὅλου τμάματος τὸ κέντρον τοῦ βάρεος ἐγγύτερόν ἐστι τᾶς κορυφᾶς τοῦ τμάματος ἢ τὸ τοῦ ἐγγραφέντος εὐθυγράμμου κέντρον.

ἔστω τὸ ΑΒΓ τμᾶμα, οἷον εἰρήται, διάμετρος δὲ αὐτοῦ ἁ ΔΒ. καὶ ἐγγεγράφθω εἰς αὐτὸ τρίγωνον πρῶτον γνωρίμως τὸ ΑΒΓ, καὶ τετμάσθω ἁ ΒΔ κατὰ



τὸ Ε, ὥστε εἶμεν διπλασίαν τὰν ΒΕ τᾶς ΕΔ. ἔστιν οὖν τοῦ ΑΒΓ τριγώνου κέντρον τοῦ βάρεος τὸ Ε σαμεῖον. τετμάσθω δὴ δίχα ἑκατέρα τᾶν ΑΒ, ΒΓ κατὰ τὰ Ζ, Η, καὶ διὰ τῶν Ζ, Η παρὰ τὰν ΒΔ ἄχθωσαν αἱ ΖΚ, ΛΗ. ἐσσεῖται ἄρα τοῦ μὲν ΑΚΒ τμάματος τὸ κέντρον τοῦ βάρεος ἐπὶ τᾶς ΖΚ, τοῦ δὲ ΒΓΛ τμάματος τὸ κέντρον τοῦ βάρεος ἐπὶ τᾶς ΗΛ.

---

8. *ευθυγραμμ* cum comp. *ον* F; corr. B. 11. *τετμησθω*

allelae ductae posita erunt.[1]) adparet igitur, centrum grauitatis [segmenti totius] in linea $B\Delta$ positum esse.

V.

Si segmento comprehenso linea recta et sectione coni rectanguli figura rectilinea proprie inscribitur, totius segmenti centrum grauitatis uertici segmenti propius est quam centrum figurae inscriptae.

sit $AB\Gamma$ segmentum, quale diximus, et diametrus eius ΔB. et primum ei triangulus proprie inscribatur $AB\Gamma$, et linea $B\Delta$ in puncto E ita secetur, ut sit $BE = 2E\Delta$. itaque punctum E centrum grauitatis est trianguli $AB\Gamma$ [I, 14; Eutocius ad I, 15 p. 186, 3]. utraque igitur linea AB, $B\Gamma$ in duas partes aequales secetur in Z, H punctis, et per Z, H lineae $B\Delta$ parallelae ducantur lineae ZK, ΛH. itaque segmenti AKB centrum grauitatis in linea ZK positum erit [prop. 4][2]), segmenti autem $B\Gamma\Lambda$ centrum grauitatis

1) I postul. 7; cfr. I, 13 p. 179 not. 3.

2) Nam ZK diametrus est segmenti AKB, quia $AZ = ZB$ et $ZK \nparallel B\Delta$. u. Zeitschr. f. Math., hist. Abth. XXV p. 51 nr. 14.

F; corr. Torellius. 14. $\tau\tilde{\alpha}\nu$] Torellius; $\tau\omega\nu$ per comp. F, uulgo. 15. $\tau\tilde{\omega}\nu$] scripsi; $\tau\alpha$ F, uulgo. 16. $\varepsilon\sigma\tau\alpha\iota$ per comp. F, uulgo. 17. $\tau\acute{o}$] addidi; om. F, uulgo. In figura in F om. E et pro N scribitur T.

ἔστω δὲ τὰ Θ, Ι, καὶ ἐπεξεύχθω ἁ ΘΙ. καὶ ἐπεὶ παραλληλόγραμμόν ἐστι τὸ ΘΖΗΙ, καὶ ἴσα ἐστὶ τᾷ ΖΝ ἁ ΝΗ, ἔστιν ἄρα καὶ ἁ ΧΘ ἴσα τᾷ ΧΙ. ὥστε τοῦ ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τμαμάτων συγκειμένου μεγέθεος τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ μέσας τᾶς ΘΙ, ἐπειδήπερ ἴσα ἐντὶ τὰ τμάματα, τουτέστιν τὸ Χ σαμεῖον. ἐπεὶ δὲ τοῦ μὲν ΑΒΓ τριγώνου κέντρον τοῦ βάρεός ἐστι τὸ Ε σαμεῖον, τοῦ δὲ συγκειμένου ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τὸ Χ, δῆλον οὖν, ὅτι ὅλου τοῦ τμάματος τοῦ ΑΒΓ τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τᾶς ΧΕ, τουτέστι μεταξὺ τῶν Χ, Ε σαμείων. ὥστ' εἴη κα ἐγγύτερον τᾶς τοῦ τμάματος κορυφᾶς τὸ κέντρον τοῦ ὅλου τμάματος ἢ τὸ τοῦ ἐγγραφομένου τριγώνου γνωρίμως.

ἐγγεγράφθω πάλιν εἰς τὸ τμᾶμα πεντάγωνον εὐθύγραμμον γνωρίμως τὸ ΑΚΒΛΓ. καὶ ἔστω τοῦ μὲν ὅλου τμάματος διάμετρος ἁ ΒΔ, ἑκατέρου δὲ τῶν τμαμάτων ἑκατέρα τᾶν ΚΖ, ΛΗ διάμετρος. καὶ ἐπεὶ ἐν τῷ ΑΚΒ τμάματι ἐγγεγράπται εὐθύγραμμον γνωρίμως, τοῦ ὅλου τμάματος κέντρον τοῦ βάρεός ἐστιν ἐγγύτερον τᾶς κορυφᾶς ἢ τὸ τοῦ εὐθυγράμμου. ἔστω οὖν τοῦ μὲν τμάματος τὸ κέντρον τοῦ βάρεος τὸ Θ, τοῦ δὲ τρι-

---

2. *ΘΖΗ* FVCr. *ΖΝ*] *ΖΗ* F. 3. *ΝΗ*] *ΗΗ* F. 5. *τό*] addidi; om. F, uulgo. 6. *τά*] addidi; om. F, uulgo. 8. *Ε*] om. F; corr. AB. 9. *ΒΛΓ*] *ΛΓ* F. 10. *τό*] addidi; om. F, uulgo. 13. *ἢ τό*] scripsi; *η* F, uulgo. 15. *εισοςμαμα* F; *εἰς τὸ ΑΒΓ τμᾶμα* Nizzius. 17. *δέ*] *δε του δε* F, expuncto *δε του* manu 2. *τῶν ΑΚΒ, ΒΛΓ τμαμάτων* Nizzius. 18. *τᾶν*] *των* per comp. F; corr. Torellius. *διάμετρος*] Nizzius; *διαμετρων* F, uulgo. 19. *εὐθύγραμμον*] *τρίγωνον* Nizzius. *ὅλου*] om. B; delet Nizzius. 21. *εὐθυγράμμου*] *τριγώνου* Nizzius. 22. *ΑΚΒ τμάματος* ed. Basil., Torellius.

in linea $H\Lambda$.[1]) sint Θ, I puncta, et ducatur linea ΘI. et quoniam parallelogrammum est ΘZHI[2]), et

$$NH = ZN^{3}),$$

erit etiam $X\Theta = XI$. quare magnitudinis ex segmentis AKB, $B\Lambda\Gamma$ compositae centrum grauitatis in media linea ΘI positum est, quia segmenta aequalia sunt[4]), h. e. punctum X.[5]) et quoniam trianguli $AB\Gamma$ centrum grauitatis est E, magnitudinis autem ex [segmentis] AKB, $B\Lambda\Gamma$ compositae punctum X, adparet, totius segmenti $AB\Gamma$ centrum grauitatis in linea XE positum esse[6]), h. e. inter puncta X, E. quare centrum grauitatis totius segmenti propius uertici segmenti est quam centrum trianguli proprie inscripti.

rursus segmento proprie inscribatur figura rectilinea quinque laterum $AKB\Lambda\Gamma$, et totius segmenti diametrus sit $B\Delta$, et segmentorum [AKB, $B\Lambda\Gamma$] diametri sint KZ, ΛH. et quoniam segmento AKB figura rectilinea[7]) proprie inscripta est, totius[8]) segmenti centrum grauitatis uertici propius est quam figurae[7]) centrum [p. 202, 10 sq.]. sit igitur segmenti

---

1) Cfr. p. 203 not. 2.

2) U. Eutocius. inde colligitur etiam $KZ \doteq \Lambda H$.

3) Nam cum $BZ : Z\Lambda = BH : H\Gamma$, erit $ZH \ddagger A\Gamma$; itaque (Zeitschr. f. Math., hist. Abth. XXIV p. 178 nr. 3)

$$ZN : NH = A\Delta : \Delta\Gamma = 1.$$

4) Nam $AKZ = KZB$, quia $AZ = ZB$, et $B\Lambda H = \Lambda H\Gamma$; et praeterea $KZB = BH\Lambda$, quia bases KZ, ΛH aequales sunt (not. 2), et altitudo eadem (nam $KZ \ddagger B\Delta \ddagger \Lambda H$). itaque $\triangle\, AKB = B\Lambda\Gamma$; tum u. quadr. parab. 17.

5) Debuit sic dici: quare cum segmenta aequalia sint, centrum grauitatis magnitudinis compositae erit punctum X.

6) Cfr. I, 4 not. 1.

7) Debebat esse: triangulus et infra: trianguli.

8) Abesse debebat.

γώνου τὸ Ι. πάλιν δὲ ἔστω τοῦ μὲν ΒΛΓ τμάματος τὸ κέντρον τοῦ βάρεος τὸ Μ, τοῦ δὲ τριγώνου τὸ Ν



[καὶ ἐπεζεύχθω τὰ Θ, Μ, Ι, Ν. ἴσα ἄρα ἐστὶν ἁ ΘΧ τᾷ ΧΜ, ἁ δὲ ΙΤ τᾷ ΤΝ. ἀλλὰ καὶ τριγώνῳ τῷ ΑΚΒ ἴσον ἐστὶ τὸ ΒΛΓ, τμᾶμα δὲ τὸ ΑΚΒ τμάματι τῷ ΒΛΓ. δεδείκται γὰρ ἐν ἄλλοις, τὰ τμάματα ἐπίτριτα εἶμεν τῶν τριγώνων]. ἐσσεῖται δὴ τοῦ μὲν ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τμαμάτων συγκειμένου μεγέθεος κέντρον τοῦ βάρεος τὸ Χ, τοῦ δὲ ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τριγώνων τὸ Τ. πάλιν οὖν ἐπεὶ τοῦ ΑΒΓ τριγώνου κέντρον τοῦ βάρεός ἐστι τὸ Ε, τοῦ δὲ ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τμαμάτων τὸ Χ, δῆλον, ὡς [τοῦ] ὅλου τοῦ ΑΒΓ τμάματος τὸ κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τᾶς ΧΕ τμαθείσας οὕτως, ὥστε, ὃν ἔχει λόγον τὸ ΑΒΓ τρίγωνον ποτὶ τὰ συναμφότερα τὰ ΑΚΒ, ΒΛΓ τμάματα, τὸν αὐτὸν λόγον ἔχειν τὸ τμᾶμα αὐτᾶς τὸ πέρας ἔχον τὸ Χ ποτὶ τὸ ἔλασσον τμᾶμα. τοῦ δὲ ΑΚΒΛΓ πενταγώνου κέντρον τοῦ βάρεός ἐστιν ἐπὶ τᾶς ΕΤ εὐθείας τμαθείσας οὕτως, ὥστε, ὃν ἔχει λόγον τὸ ΑΒΓ τρίγωνον ποτὶ τὰ ΑΚΒ, ΒΛΓ τρίγωνα, τοῦτον ἔχειν τὸν λόγον τὸ

---

3. *καὶ ἐπεζεύχθω* ad *τῶν τριγώνων* lin. 7 om. FVABCD Cr.;

[AKB] centrum grauitatis Θ, trianguli autem I. rursus segmenti $B\Delta\Gamma$ centrum grauitatis sit M, trianguli autem [$B\Delta\Gamma$] N. magnitudinis igitur ex segmentis AKB, $B\Delta\Gamma$ compositae centrum grauitatis est X, magnitudinis autem ex triangulis AKB, $B\Delta\Gamma$ compositae T.[1]) rursus igitur quoniam trianguli $AB\Gamma$ centrum grauitatis est E, magnitudinis autem ex segmentis AKB, $B\Delta\Gamma$ compositae X, adparet, totius segmenti $AB\Gamma$ centrum grauitatis in linea XE positum esse ita diuisa, ut, quam rationem habeat triangulus $AB\Gamma$ ad utrumque simul segmentum AKB, $B\Delta\Gamma$, eam habeat pars lineae XE, cuius terminus sit X, ad partem minorem[2]) [I, 8].[3]) figurae autem quinque laterum $AKB\Delta\Gamma$ centrum grauitatis in linea ET positum est ita diuisa, ut, quam rationem habeat triangulus $AB\Gamma$ ad triangulos AKB, $B\Delta\Gamma$, eam habeat

1) U. Eutocius; et cfr. p. 205 not. 4 et p. 204 lin. 3—7.

2) Nam triangulus $AB\Gamma$ maior est segmentis $AKB + B\Delta\Gamma$ (quad. parab. 21 et 17); tum cfr. I, 6—7.

3) Sit enim centrum segmenti $AB\Gamma$ punctum y inter X, E positum; erit magnitudinis relictae, segmentorum AKB, $B\Delta\Gamma$, centrum grauitatis (X) in linea Ey producta ita positum, ut sit $yX : Ey = \triangle AB\Gamma$: segm. $AKB + B\Delta\Gamma$. poterat idem etiam ex I, 6—7 concludi (cfr. not. 2). eodem modo infra lin. 18 sq. ratiocinandum est.

habent Tartalea, ed. Basil., Torellius; sed manifesto recentissimo tempore interpolata sunt; ex adnotatione Eutocii adparet, eum haec uerba non habuisse, et ipsa forma Archimedea non est (ἐπεζεύχθω de punctis, τμᾶμα τὸ AKB). 7. ἐσσεῖται δή] scripsi; εσται (comp.) δε F, uulgo, nisi quod οὖν ed. Basil., Torellius. 11. κεντρον F. 13. τοῦ] deleo. 14. ἐστιν ἐπί] Torellius; ἐστιν om. F, uulgo. 17. εχων F.

τμᾶμα αὐτᾶς τὸ πέρας ἔχον τὸ Τ ποτὶ τὸ λοιπόν. ἐπεὶ οὖν μείζονα λόγον ἔχει τὸ ΑΒΓ τρίγωνον ποτὶ τὰ ΚΑΒ, ΛΒΓ τρίγωνα ἢ ποτὶ τὰ τμάματα, δῆλον οὖν, ὅτι τοῦ ΑΒΓ τμάματος τὸ κέντρον τοῦ βάρεος ἐγγύτερόν ἐστι τᾶς Β κορυφᾶς ἢ τὸ τοῦ ἐγγραφομένου εὐθυγράμμου. καὶ ἐπὶ πάντων εὐθυγράμμων τῶν ἐγγραφομένων ἐς τὰ τμάματα γνωρίμως ὁ αὐτὸς λόγος.

ϛ'.

Τμάματος δοθέντος περιεχομένου ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς δυνατόν ἐστιν ἐς τὸ τμᾶμα εὐθύγραμμον γνωρίμως ἐγγράψαι, ὥστε τὰν μεταξὺ εὐθεῖαν τῶν κέντρων τοῦ βάρεος τοῦ τμάματος καὶ τοῦ ἐγγραφέντος εὐθυγράμμου ἐλάσσονα εἶμεν πάσας τᾶς προτεθείσας εὐθείας.

δεδόσθω τμᾶμα τὸ ΑΒΓ, οἷον εἰρήται, οὗ κέντρον ἔστω τοῦ βάρεος τὸ Θ, καὶ ἐγγεγράφθω εἰς αὐτὸ τρίγωνον γνωρίμως τὸ ΑΒΓ. καὶ ἔστω ἁ προτεθεῖσα εὐθεῖα ἁ Ζ, καὶ ὃν λόγον ἔχει ἁ ΒΘ ποτὶ Ζ, τοῦτον τὸν λόγον ἐχέτω τὸ ΑΒΓ τρίγωνον ποτὶ τὸ Κ χωρίον. ἐγγεγράφθω δὴ εἰς τὸ ΑΒΓ τμᾶμα εὐθύγραμμον γνωρίμως τὸ ΑΚΒΛΓ, ὥστε τὰ περιλειπόμενα τμάματα ἐλάσσονα εἶμεν τοῦ Κ. καὶ ἔστω τοῦ ἐγγραφέντος εὐθυγράμμου κέντρον τοῦ βάρεος τὸ Ε. φαμὶ δὴ τὰν ΘΕ ἐλάσσονα εἶμεν τᾶς Ζ.

εἰ γὰρ μή, ἤτοι ἴσα ἐστὶν ἢ μείζων. ἐπεὶ δὲ τὸ ΑΚΒΛΓ εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα μείζονα λόγον ἔχει, ἢ τὸ ΑΒΓ τρίγωνον ποτὶ

2. προς per comp. F; corr. Torellius, ut lin. 18, 19, 26, 27. 3. τά (alt.)] supra scriptum manu 1 F. 5. της Β κορυφης (comp.) F; corr. Torellius. 6. καί] supra scriptum manu 1

pars lineae ET, cuius terminus sit T, ad reliquam [I, 8].[1]) iam quoniam triangulus $AB\Gamma$ maiorem rationem habet ad triangulos KAB, $AB\Gamma$ quam ad segmenta [Eucl. V, 8], adparet segmenti $AB\Gamma$ centrum grauitatis propius esse uertici B quam centrum figurae inscriptae.[2]) et in omnibus figuris rectilineis segmentis proprie inscriptis eadem ratio ualet.

VI.

Dato segmento comprehenso linea recta et sectione coni rectanguli fieri potest, ut figura rectilinea segmento proprie inscribatur, ita ut linea inter centra grauitatis segmenti et figurae inscriptae posita minor sit quauis linea data.

datum sit segmentum, quale diximus, $AB\Gamma$, cuius centrum grauitatis sit Θ, et ei inscribatur proprie triangulus $AB\Gamma$. et data linea sit Z, et sit

$$\triangle AB\Gamma : K = B\Theta : Z.$$

iam segmento $AB\Gamma$ proprie inscribatur figura rectilinea $AKB\Delta\Gamma$, ita ut spatia reliqua minora sint spatio K.[3]) et figurae inscriptae centrum grauitatis sit E. dico, lineam ΘE minorem esse linea Z.

nam si non est, aut aequalis est aut maior. quoniam autem figura rectilinea $AKB\Delta\Gamma$ ad segmenta reliqua maiorem rationem habet, quam triangulus

1) Cfr. p. 207 not. 3.
2) U. Eutocius.
3) U. Eutocius ad prop. 4 p. 198, 20.

F. ευϑυγϱαμμ cum comp. ου F. 10. ἐστιν] addidi; om. F, uulgo. 18. Z (prius)] ΔZ FV. Z (alt.)] EZ FV. 22. τοῦ] το cum comp. ου F.

Κ, τουτέστιν ἁ ΘΒ ποτὶ Ζ, ἔχει δὲ καὶ ἁ ΒΘ ποτὶ Ζ οὐκ ἐλάσσονα λόγον, ἢ ὃν ἔχει ποτὶ ΘΕ, διὰ τὸ μὴ ἐλάσσονα εἶμεν τὰν ΘΕ τᾶς Ζ, πολλῷ ἄρα τὸ ΑΚΒΛΓ εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα μείζονα λόγον ἔχει, ἢ ἁ ΒΘ ποτὶ ΘΕ. ὥστε ἐὰν ποιέωμες, ὡς τὸ ΑΚΒΛΓ εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα, οὕτως ἄλλαν τινὰ ποτὶ ΘΕ, ἐπειδὴ τοῦ ΑΒΓ τμάματος τὸ κέντρον τοῦ βάρεός ἐστι τὸ Θ, ἐκβληθείσας τᾶς ΕΘ καὶ ἀπολαφθείσας τινὸς εὐθείας ἐχούσας λόγον ποτὶ τὰν ΕΘ, ὃν τὸ ΑΚΒΛΓ εὐθύγραμμον ποτὶ τὰ περιλειπόμενα τμάματα, ἐσσεῖται μείζων τᾶς ΘΒ. ἐχέτω οὖν ἁ ΗΘ ποτὶ ΘΕ. τὸ Η ἄρα κέντρον τοῦ βάρεος τοῦ συγκειμένου ἐκ τῶν περιλειπομένων τμαμάτων· ὅπερ ἀδύνατον. τᾶς γὰρ διὰ τοῦ Η ἀχθείσας παρὰ τὰν ΑΓ ἐπὶ τὰ αὐτά ἐστιν τὰ τμάματα. δῆλον οὖν, ὅτι ἁ ΘΕ ἐλάσσων ἐστὶ τᾶς Ζ. ἔδει δὲ τοῦτο δεῖξαι.



ζ'.

Δύο τμαμάτων ὁμοίων περιεχομένων ὑπό τε εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τὰ κέντρα τῶν βαρέων εἰς τὸν αὐτὸν λόγον τέμνοντι τὰς διαμέτρους.

---

1. ἁ ΘΒ] ἡ ΘΒ F; corr. Torellius. προς (bis) per comp. F; corr. Torellius, ut lin. 2, 6, 8, 11, 13, 17, 18, 19. 9. ποι-

$\Delta B\Gamma$ ad K[1]), h. e. quam $\Theta B : Z$, et ΘB ad Z non minorem rationem habet, quam $\Theta B : \Theta E$, quia ΘE minor non est linea Z [Eucl. V, 8], figura igitur $\Delta K B \Delta \Gamma$ ad segmenta reliqua multo maiorem rationem habet, quam $B\Theta : \Theta E$. si igitur fecerimus rationi, quam habet figura $\Delta K B \Delta \Gamma$ ad segmenta reliqua, aequalem rationem, quam habet alia linea ad ΘE, producta linea $E\Theta$, quoniam segmenti $\Delta B\Gamma$ centrum grauitatis est Θ, et abscisa linea ad $E\Theta$ eam habenti rationem quam figura $\Delta K B \Delta \Gamma$ ad segmenta reliqua[2]), maior erit [linea illa] quam ΘB [Eucl. V, 8]. sit igitur $H\Theta : \Theta E$ [$= \Delta K B \Delta \Gamma$: segmenta reliqua]. itaque punctum H centrum grauitatis erit magnitudinis ex segmentis reliquis compositae[3]); quod fieri non potest. nam segmenta [omnia] in eadem parte lineae per H lineae $\Delta\Gamma$ parallelae ductae posita erunt.[4]) adparet igitur, esse $\Theta E < Z$, quod erat demonstrandum.

VII.

Duorum segmentorum similium comprehensorum linea recta et sectione coni rectanguli centra grauitatum diametros eadem ratione diuidunt.

1) Nam $\Delta K B \Delta \Gamma > \Delta B \Gamma$, et segmenta $< K$.
2) Cfr. I, 8.
3) I, 8; u. p. 207 not. 3.
4) I postul. 7; u. p. 179 not. 3.

ωμεν F, uulgo. Mirum est, litteram K bis usurpatam esse in figura. 18. ἔσται per comp. F, uulgo. 22. ἐστιν] scripsi; ἤστην F, uulgo; ἐστι τήν ed. Basil., ἰσσοῦντι Torellius. τὰ τμάματα] Nizzius; τω τμηματι F, uulgo. 23. οὖν] om. F; corr. Torellius. τᾶς] bis F (semel per comp.). ZE δει F. 28. βαρων F. τεμνοντι F.

ἔστω δύο τμάματα, οἷα εἴρηται, τὰ ΑΒΓ, ΕΖΗ, ὧν διαμέτροι αἱ ΒΔ, ΖΘ. καὶ ἔστω τοῦ μὲν ΑΒΓ τμάματος κέντρον τοῦ βάρεος τὸ Κ σαμεῖον, τοῦ δὲ ΕΖΗ τὸ Λ. δεικτέον, ὅτι εἰς τὸν αὐτὸν λόγον τέμνοντι τὰς διαμέτρους τὰ Κ, Λ.

εἰ γὰρ μή, ἔστω ὡς ἁ ΚΒ ποτὶ ΚΔ, οὕτως ἁ ΖΜ ποτὶ ΘΜ, καὶ ἐγγεγράφθω εἰς τὸ ΕΖΗ τμᾶμα εὐθύγραμμον γνωρίμως, ὥστε τὰν μεταξὺ τοῦ κέντρου τοῦ τμάματος καὶ τοῦ ἐγγραφομένου εὐθυγράμμου ἐλάσσονα εἶμεν τᾶς ΛΜ. καὶ ἔστω τοῦ ἐγγραφέντος εὐθυγράμμου κέντρον τοῦ βάρεος τὸ Ξ σαμεῖον. ἐγγεγράφθω δὲ εἰς τὸ ΑΒΓ τμᾶμα τῷ ἐν τῷ ΕΖΗ ἐγγεγραμμένῳ εὐθυγράμμῳ ὁμοῖον εὐθύγραμμον, τουτέστιν ὁμοίως γνωρίμως, οὗ κέντρον τοῦ βάρεος τᾶς κορυφᾶς ἐγγύτερον ἤπερ τὸ τοῦ τμάματος· ὅπερ ἀδύνατον. δῆλον οὖν, ὅτι τον αὐτὸν λόγον ἔχει ἁ ΒΚ ποτὶ ΚΔ, ὃν ἁ ΖΛ ποτὶ ΛΘ.



η'.

Παντὸς τμάματος περιεχομένου ὑπὸ εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς τὸ κέντρον τοῦ βάρεος διαι-

4. Λ] Δ F. *τέμνοντι*] scripsi; *τεμνωντι* F, uulgo. 6. *προς* per comp. F; corr. Torellius ut lin. 7, 23, 24. 8. *την* per comp. F; corr. Torellius. 18. *ἐγγεγραμμένῳ εὐθυγράμμῳ*]

duo segmenta, qualia diximus, sint $AB\Gamma$, EZH, quorum diametri sint $B\Delta$, $Z\Theta$, et segmenti $AB\Gamma$ centrum grauitatis sit K, segmenti autem EZH punctum Λ. demonstrandum, puncta K, Λ diametros eadem ratione diuidere.

nam si minus, sit $KB : K\Delta = ZM : \Theta M$, et segmento EZH inscribatur proprie figura rectilinea, ita ut linea inter centra [grauitatis] segmenti et figurae inscriptae minor sit quam linea ΛM [prop. 6]. et figurae inscriptae centrum grauitatis sit Ξ punctum.[1]) inscribatur autem segmento $AB\Gamma$ figura rectilinea figurae segmento EZH inscriptae similis, h. e. similiter proprie [u. Eutocius], cuius centrum grauitatis uertici propius erit quam centrum segmenti[2]); quod fieri non potest [prop. 5]. adparet igitur, esse

$$BK : K\Delta = Z\Lambda : \Lambda\Theta.$$

VIII.

Cuiusuis segmenti comprehensi linea recta et sectione coni rectanguli centrum grauitatis diametrum

1) Cadet hoc punctum infra punctum Λ (prop. 5), sed supra M, quia $\Lambda\Xi < \Lambda M$ (ex hypothesi).

2) Debuit sic dici: itaque centrum eius uertici propius erit cett., et fortasse lin. 21 pro οὗ scribendum: τὸ οὖν. ceterum hoc uerum esse, sic intellegitur: centrum figurae segmento $AB\Gamma$ inscriptae sit y; erit igitur (prop. 3)

$$By : y\Delta = Z\Xi : \Xi\Theta;$$

sed $Z\Xi : \Xi\Theta < ZM : M\Theta$; itaque $By : y\Delta < KB : B\Delta$, et y supra K cadet.

τμάματι Eutocius. 21. οὗ τό Nizzius. 22. τό] addidi; om. F, uulgo.

ρεῖ τὰν τοῦ τμάματος διάμετρον, ὥστε εἶμεν ἁμιόλιον τὸ μέρος αὐτᾶς τὸ ποτὶ τᾷ κορυφᾷ τοῦ τμάματος τοῦ ποτὶ τᾷ βάσει.

ἔστω τὸ ΑΒΓ τμᾶμα, οἷον εἰρήται, διάμετρος δὲ αὐτοῦ ἔστω ἁ ΒΔ, κέντρον δὲ τοῦ βάρεος τὸ Θ σαμεῖον. δεικτέον, ὅτι ἁμιολία ἐστὶν ἁ ΒΘ τᾶς ΘΔ.

ἐγγεγράφθω ἐς τὸ ΑΒΓ τμᾶμα γνωρίμως τρίγωνον τὸ ΑΒΓ, οὗ κέντρον τοῦ βάρεος ἔστω τὸ Ε. καὶ τετμάσθω δίχα ἑκατέρα τᾶν ΒΑ, ΒΓ, καὶ ἄχθων αἱ ΚΖ, ΗΛ παρὰ τὰν ΒΔ. διαμέτροι ἄρα ἐντὶ τῶν ΑΚΒ,



ΒΛΓ τμαμάτων. ἔστω οὖν τοῦ μὲν ΑΚΒ τμάματος κέντρον τοῦ βάρεος τὸ Μ, τοῦ δὲ ΒΛΓ τὸ Ν, καὶ ἐπεζεύχθωσαν αἱ ΖΗ, ΜΝ, ΚΛ. τοῦ ἄρα ἐξ ἀμφοτέρων τῶν τμαμάτων συγκειμένου μεγέθεος κέντρον τοῦ βάρεός ἐστι τὸ Χ. καὶ ἐπεί ἐστιν, ὡς ἁ ΒΘ ποτὶ ΘΔ, οὕτως ἁ ΚΜ ποτὶ ΜΖ, καὶ συνθέντι καὶ ἐναλλάξ, ὡς ἁ ΒΔ ποτὶ ΚΖ, οὕτως ἁ ΔΘ ποτὶ ΜΖ, τετραπλασία δὲ ἁ ΒΔ τᾶς ΚΖ· τοῦτο γὰρ ἐπὶ τέλει δεικνύται, οὗ σαμεῖον ϭ· τετραπλασίων ἄρα καὶ ἁ ΔΘ τᾶς ΜΖ. ὥστε καὶ λοιπὰ ἁ ΒΘ λοιπᾶς τᾶς ΚΜ,

---

1. *ειμιολιον* F, *ἡμιόλιον* V. 3. *τᾷ βάσει*] scripsi; *ταν βασιν*

segmenti ita diuidit, ut pars eius ad uerticem segmenti posita dimidio maior sit parte ad basim posita.

sit $AB\Gamma$ segmentum, quale diximus, et diametrus eius sit $B\Delta$, et centrum grauitatis punctum Θ. demonstrandum, esse $B\Theta = \frac{3}{2}\Theta\Delta$.

segmento $AB\Gamma$ proprie inscribatur triangulus $AB\Gamma$, cuius centrum grauitatis sit E. et lineae BA, $B\Gamma$ in duas partes aequales [in punctis Z, H] diuidantur, et lineae $B\Delta$ parallelae ducantur lineae KZ, $H\Lambda$. itaque diametri sunt segmentorum AKB, $B\Lambda\Gamma$ [p. 203 not. 2]. sit igitur segmenti AKB centrum grauitatis M, segmenti autem $B\Lambda\Gamma$ punctum N [cfr. prop. 4], et ducantur lineae ZH, MN, $K\Lambda$. magnitudinis igitur ex utroque segmento compositae centrum grauitatis est X [p. 205 not. 6 et not. 4]. et quoniam est

$$KM : MZ = B\Theta : \Theta\Delta$$ [cfr. prop. 7 et Eutocius],

et componendo [$KZ : ZM = B\Delta : \Theta\Delta$; Eucl. V, 18] et uicissim [Eucl. V, 16] $B\Delta : KZ = \Delta\Theta : MZ$, sed $B\Delta = 4KZ$ (hoc enim in fine demonstratur, ubi est signum ⸎)[1]), erit $\Delta\Theta = 4MZ$. quare etiam quae

1) U. Eutocius.

F, uulgo. 4. *οἷον*] Torellius; *ομοιον* (comp.) *ως* F, uulgo; *οἷον ὡς* ed. Basil., C. 7. $AB\Delta$ FV. 8. *οὐ τό* Nizzius. 9. *τᾶν*] Torellius; *τα* FV; *τῶν* uulgo. $B\Gamma$] $A\Gamma$ F; corr. ed. Basil. Post $B\Gamma$ ed. Basil., Torellius addunt *κατὰ τὰ* ZH et post *ἄχθων*: *παρὰ τὰν* $B\Delta$, quae uerba post $H\Lambda$ lin. 10 inserui. 10. $H\Lambda$] H F. 12. *κέντρον*] scripsi; *το κεντρον* F, uulgo. N] H FV. 14. *το κεντρον* F, uulgo. 15. *προς* per comp. F; corr. Torellius, ut lin. 16, 17. 17. *τας* (per comp.) KZ F, uulgo; *τὰν* KZ ed. Basil., Torellius; malui *τας* delere. *οὕτως ἁ* $\Delta\Theta$ ad KZ lin. 18 om. F, uulgo; suppleui ex Eutocio; minus recte Torellius cum ed. Basil.: *οὕτως ἁ* $\Theta\Delta$ *ποτὶ* (*πρός* ed. Basil.) *τὰν* MZ· *ἁ δὲ* $B\Delta$ *τετραπλασίων τᾶς* KZ. 19. ⸎] *ὁ ηλιος* F, uulgo; *τὸ* Θ Torellius; *ὁ* Θ ed. Basil.; ego hic quoque Eutocium secutus sum.

τουτέστι τᾶς ΣΧ τετραπλασίων. καὶ λοιπὰ ἄρα συναμφοτέρα ἁ ΒΣ, ΧΘ τριπλασίων τᾶς ΣΧ. ἔστω τριπλασίᾳ ἁ ΒΣ τᾶς ΣΞ. καὶ ἁ ΧΘ ἄρα τᾶς ΞΧ ἐστι τριπλασία. καὶ ἐπεὶ τετραπλασίων ἁ ΒΔ τᾶς ΒΣ· καὶ γὰρ τοῦτο δεικνύται· ἁ δὲ ΒΣ τᾶς ΣΞ τριπλασίων, ἁ ΞΒ ἄρα τᾶς ΒΔ τρίτον μέρος [ἐστίν]. ἔστιν δὲ καὶ ἁ ΕΔ τᾶς ΔΒ τρίτον μέρος, ἐπειδήπερ κέντρον τοῦ βάρεος τοῦ ΑΒΓ τριγώνου ἐστὶ τὸ Ε. καὶ λοιπὰ ἄρα ἁ ΞΕ τρίτον μέρος τᾶς ΒΔ. καὶ ἐπεὶ τοῦ μὲν ὅλου τμάματος κέντρον τοῦ βάρεός ἐστι τὸ Θ σαμεῖον, τοῦ δὲ ἐξ ἀμφοτέρων τῶν ΑΚΒ, ΒΛΓ τμαμάτων συγκειμένου μεγέθεος τὸ κέντρον τοῦ βάρεος τὸ Χ, τοῦ δὲ ΑΒΓ τριγώνου τὸ Ε, ἐσσείται, ὡς τὸ ΑΒΓ τρίγωνον ποτὶ τὰ καταλειπόμενα τμάματα, οὕτως ἁ ΧΘ ποτὶ ΘΕ. τριπλάσιον δὲ τὸ ΑΒΓ τρίγωνον τῶν τμαμάτων [ἐπειδήπερ τὸ ὅλον τμᾶμα ἐπίτριτόν ἐστι τοῦ ΑΒΓ τριγώνου]. τριπλασία ἄρα καὶ ἁ ΧΘ τᾶς ΘΕ. ἐδείχθη δὲ ἁ ΧΘ τριπλασία καὶ τᾶς ΧΞ. πενταπλασία ἄρα ἐστὶν ἁ ΞΕ τᾶς ΕΘ, τουτέστιν ἁ ΔΕ τᾶς ΕΘ. ἴσα γάρ ἐστιν αὐτᾷ. ὥστε ἑξαπλασία ἐστὶν ἁ ΔΘ τᾶς ΘΕ. καί ἐντι τᾶς ΔΕ τριπλασία ἁ ΒΔ. ἁμιολία ἄρα ἐντὶ ἁ ΒΘ τᾶς ΘΔ· ὅπερ ἔδει δεῖξαι.

θ'.

Εἴ κα τέσσαρες γραμμαὶ ἀνάλογον ἔωντι ἐν τᾷ συνεχεῖ ἀναλογίᾳ, καὶ ὃν ἔχει λόγον ἁ ἐλαχίστα ποτὶ τὰν ὑπεροχάν, ᾇ ὑπερέχει ἁ μεγίστα τᾶς ἐλαχίστας,

1. λοιπά] scripsi; λοιπ cum comp. ον F, uulgo; λοιπᾶν Torellius; λοιπόν fortasse retineri potest; u. Hultschii index Pappi p. 68. 2. τριπλασία] cum C et Nizzio; τριπλα (in fine lineae) F, uulgo. 3. ΣΞ] ΕΞ FV. ἐστὶν ἁ Eutocius. 6. ἐστίν] om. Eutocius. 12. βαρους F, uulgo. 13. εσται

relinquitur $B\Theta = 4KM = 4\Sigma X$.[1]) quare etiam quae relinquitur[2]) $B\Sigma + X\Theta = 3\Sigma X$. sit $B\Sigma = 3\Sigma\Xi$. erit igitur etiam $X\Theta = 3\Xi X$. et quoniam est

$$B\Delta = 4B\Sigma$$

(nam hoc quoque demonstratur [u. Eutocius]), et

$$B\Sigma = 3\Sigma\Xi,$$

erit igitur $\Xi B = \frac{1}{3}B\Delta$ [u. Eutocius]. sed etiam $E\Delta = \frac{1}{3}\Delta B$, quoniam trianguli $AB\Gamma$ centrum grauitatis est E [I, 14 coll. Eutocio ad I, 15]. quare etiam quae relinquitur $\Xi E = \frac{1}{3}B\Delta$. et quoniam totius segmenti centrum grauitatis est punctum Θ, magnitudinis autem ex utroque segmento AKB, $B\Lambda\Gamma$ compositae centrum grauitatis X, et trianguli $AB\Gamma$ punctum E, erit ut triangulus $AB\Gamma$ ad segmenta reliqua, ita $X\Theta : \Theta E$ [I, 8]. sed triangulus $AB\Gamma$ triplo maior est segmentis.[3]) quare etiam $X\Theta = 3\Theta E$. sed etiam demonstratum est esse $X\Theta = 3X\Xi$. itaque $\Xi E = 5E\Theta$, h. e. $\Delta E = 5E\Theta$; nam $\Delta E = \Xi E$. quare $\Delta\Theta = 6\Theta E$. et est $B\Delta = 3\Delta E$. quare est $B\Theta = \frac{3}{2}\Theta\Delta$ [u. Eutocius]; quod erat demonstrandum.

IX.

Si quattuor lineae in continua proportione proportionales sunt, et quam habet rationem minima ad differentiam maximae et minimae, eam linea aliqua

---

1) Nam. parallelogrammum est $KMX\Sigma$.

2) Subtracto $\Sigma\Phi$ communi ab $B\Theta = 4\Sigma X$.

3) U. Eutocius, qui sequentia uerba lin. 16—17 non habuisse uidetur.

---

per comp. F, uulgo. 14. προς (bis) per comp. F; corr. Torellius. 15. τριπλάσιον] scripsi; τριπλ cum comp. ουν F, uulgo, Eutocius. 22. ὅπερ ἔδει δεῖξαι] $\overline{οι}$ FVA; om. uulgo; habet Eutocius.

τοῦτον ἔχουσά τις λαφθῇ ποτὶ τὰ τρία πεμπταμόρια τᾶς ὑπεροχᾶς, ἃ ὑπερέχει ἁ μεγίστα τᾶν ἀνάλογον τᾶς τρίτας, ὃν δὲ ἔχει λόγον ἁ ἴσα τᾷ τε διπλασίᾳ τᾶς μεγίστας τᾶν ἀνάλογον καὶ τᾷ τετραπλασίᾳ τᾶς δευτέρας καὶ τᾷ ἑξαπλασίᾳ τᾶς τρίτας καὶ τᾷ τριπλασίᾳ τᾶς τετάρτας ποτὶ τὰν ἴσαν τᾷ τε πενταπλασίᾳ τᾶς μεγίστας καὶ τᾷ δεκαπλασίᾳ τᾶς δευτέρας καὶ τᾷ δεκαπλασίᾳ τᾶς τρίτας καὶ τᾷ πενταπλασίᾳ τᾶς τετάρτας, τοῦτον ἔχουσά τις λαφθῇ ποτὶ τὰν ὑπεροχάν, ἃ ὑπερέχει ἁ μεγίστα τᾶν ἀνάλογον τᾶς τρίτας, συναμφοτέραι αἱ λαφθεῖσαι ἑσσοῦνται δύο πεμπταμόρια τᾶς μεγίστας.



ἔστωσαν τέσσαρες γραμμαὶ ἀνάλογον αἱ ΑΒ, ΒΓ, ΒΔ, ΒΕ, καὶ ὃν μὲν ἔχει λόγον ἁ ΒΕ ποτὶ ΕΑ, τοῦτον ἐχέτω ἁ ΖΗ ποτὶ τὰ τρία πέμπτα τᾶς ΑΔ, ὃν δὲ λόγον ἔχει ἁ ἴσα τᾷ διπλασίᾳ τᾶς ΑΒ καὶ τετραπλασίᾳ τᾶς ΒΓ καὶ ἑξαπλασίᾳ τᾶς ΒΔ καὶ τριπλασίᾳ τᾶς ΒΕ ποτὶ τὰν ἴσαν τᾷ πενταπλασίᾳ τᾶς ΑΒ καὶ δεκαπλασίᾳ τᾶς ΓΒ καὶ δεκαπλασίᾳ τᾶς ΒΔ καὶ πενταπλασίᾳ τᾶς ΒΕ, τοῦτον ἐχέτω τὸν λόγον ἁ ΗΘ ποτὶ τὰν ΑΔ. δεικτέον, ὅτι ἁ ΖΘ δύο πεμπταμόριά ἐντι τᾶς ΑΒ.

ἐπεὶ γὰρ ἀνάλογόν ἐντι αἱ ΑΒ, ΒΓ, ΒΔ, ΒΕ, καὶ αἱ ΑΓ, ΓΔ, ΔΕ ἐν τῷ αὐτῷ λόγῳ ἐντί. καὶ συναμφότερος ἁ ΑΒ, ΒΓ ποτὶ τὰν ΒΔ, τουτέστιν ἁ διπλασία συναμφοτέρου τᾶς ΑΒ, ΒΓ ποτὶ τὰν διπλασίαν τᾶς

1. *πεμπτημορια* F; corr. Torellius. 2. *ἃ*] *ἁς* F; corr. B. *τᾶν*] *τ* F; ’ addidit manus 2; *τὰς* A, ed. Basil. 3. *διπλασίᾳ*] *β̄* F, ut saepissime in hac propositione; corr. fere ed. Basil.; ego semper totum uerbum posui suadente Nizzio. 4. *ἀνάλογον*] *αναλογιαν* F; corr. ed. Basil. 5. *καὶ τᾷ τριπλασίᾳ*]

adsumpta habet ad $\frac{3}{5}$ differentiae maximae et tertiae linearum proportionalium, et quam habet rationem linea aequalis duplici maximae proportionalium et quadruplici secundae et tertiae sexies sumptae et triplici quartae ad lineam aequalem maximae quinquies sumptae et secundae decies sumptae et tertiae decies sumptae et quartae quinquies sumptae, eam habet linea aliqua adsumpta ad differentiam maximae et tertiae proportionalium, utraque simul linea adsumpta $\frac{2}{5}$ erit maximae.[1])

quattuor lineae AB, $B\Gamma$, $B\Delta$, BE proportionales sint[2]), et sit $BE : EA = ZH : \frac{3}{5} A\Delta$, et

$$2AB + 4B\Gamma + 6B\Delta + 3BE$$
$$: 5AB + 10\Gamma B + 10B\Delta + 5BE = H\Theta : A\Delta.$$

demonstrandum, esse $Z\Theta = \frac{2}{5} AB$.

nam quoniam AB, $B\Gamma$, $B\Delta$, BE proportionales sunt, etiam $A\Gamma$, $\Gamma\Delta$, ΔE in eadem ratione sunt.[3]) et erit $AB + B\Gamma : B\Delta$, h. e.

1) Huius propositionis paraphrasim dedit Eutocius; demonstratio magis conspicua u. Quaest. Arch. p. 48—50; breuiorem demonstrationem ex ratione recentioris arithmetices dederunt Sturmius p. 273, Nizzius p. 38.

2) H. e. sit $AB : B\Gamma = B\Gamma : B\Delta = B\Delta : BE$.

3) Nam cum sit $AB : B\Gamma = B\Gamma : B\Delta$, erit διελόντι:
$$A\Gamma : B\Gamma = \Gamma\Delta : B\Delta,$$
et ἐναλλάξ: $A\Gamma : \Gamma\Delta = B\Gamma : B\Delta$. eodem modo, cum
$B\Gamma : B\Delta = B\Delta : BE$, erit $\Gamma\Delta : B\Delta = \Delta E : BE$
et $\Gamma\Delta : \Delta E = B\Delta : BE$;
h. e. $A\Gamma : \Gamma\Delta = \Gamma\Delta : \Delta E = AB : B\Gamma = B\Gamma : B\Delta = B\Delta : BE$.

om. F. 8. πενταπλησια F. 10. τᾶν] τας F; corr. Torellius. 11. πεμπτημερια F; corr. Torellius. 13. $B\Delta$] om. F. 14. προς (prius) per comp. F; corr. Torellius, ut lin. 26. 22. ἁ $Z\Theta$] τα $AZ\Theta$ F; corr. A. 24. BE] ΔE F. 26. τὰν $B\Delta$ ad $B\Gamma$ ποτί lin. 27 suppleui; om. F, uulgo; διπλασίαν τᾶς lin. 27 om. ed. Basil., Torellius.

ΒΔ ἔχει τὸν αὐτὸν λόγον, ὃν ἁ ΑΔ ποτὶ τὰν ΔΕ, καὶ συναμφότερος ἁ ΔΒ, ΒΓ ποτὶ τὰν ΕΒ, καὶ πάντα ποτὶ πάντα. τὸν αὐτὸν ἄρα λόγον ἔχει ἁ ΑΔ ποτὶ τὰν ΔΕ, ὃν ἁ ἴσα τᾷ τε διπλασίᾳ τᾶς ΑΒ καὶ τᾷ τριπλασίᾳ τᾶς ΓΒ καὶ τᾷ ΔΒ ποτὶ τὰν ἴσαν τᾷ τε διπλασίᾳ τᾶς ΒΔ καὶ τᾷ ΒΕ. ὃν δὲ λόγον ἔχει ἁ ἴσα τᾷ τε διπλασίᾳ τᾶς ΑΒ καὶ τᾷ τετραπλασίᾳ τᾶς ΒΓ καὶ τᾷ τετραπλασίᾳ τᾶς ΒΔ καὶ τᾷ διπλασίᾳ τᾶς ΒΕ ποτὶ τὰν ἴσαν τᾷ τε διπλασίᾳ τᾶς ΔΒ καὶ τᾷ ΕΒ, τοῦτον ἕξει ἁ ΔΑ ποτὶ ἐλάσσονα τᾶς ΔΕ. ἐχέτω οὖν ποτὶ ΔΟ. καὶ ἀμφοτέραι δὲ ποτὶ τὰς πρώτας τὸν αὐτὸν ἑξοῦντι λόγον. ἕξει οὖν ἁ ΟΑ ποτὶ ΑΔ τὸν αὐτὸν λόγον, ὃν ἁ ἴσα τᾷ τε διπλασίᾳ τᾶς ΑΒ καὶ τετραπλασίᾳ τᾶς ΓΒ καὶ ἑξαπλασίᾳ τᾶς ΒΔ καὶ τριπλασίᾳ τᾶς ΒΕ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας συναμφοτέρας τᾶς ΑΒ, ΕΒ καὶ τετραπλασίας συναμφοτέρου τᾶς ΓΒ, ΒΔ. ἔχει δὲ καὶ ἁ ΑΔ ποτὶ ΗΘ τὸν αὐτὸν λόγον, ὃν ἁ πενταπλασία συναμφοτέρου τᾶς ΑΒ, ΒΕ μετὰ τᾶς δεκαπλασίας συναμφοτέρου τᾶς ΓΒ, ΒΔ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΑΒ καὶ τᾶς τετραπλασίας τᾶς ΓΒ καὶ τᾶς τριπλασίας τᾶς ΕΒ καὶ ἑξαπλασίας τᾶς ΒΔ. ἀνομοίως δὲ τῶν λόγων τεταγμένων, τουτέστιν ἐν τεταραγμένᾳ ἀναλογίᾳ, δι' ἴσου τὸν αὐτὸν ἔχει λόγον ἁ ΟΑ ποτὶ ΗΘ, ὃν ἁ πενταπλασία συναμφοτέρου τᾶς ΑΒ, ΒΕ μετὰ τᾶς δεκαπλασίας τᾶν ΓΒ, ΒΔ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς ΑΒ, ΒΕ καὶ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς ΓΒ, ΒΔ. ἀλλ' ἁ συγκειμένα ἔκ τε τᾶς πενταπλασίας

---

3. *προς* per comp. F; corr. Torellius, ut lin. 10, 11 (prius), 12, 18, 20, 26. 5. *καὶ τᾷ*] scripsi; *και α* F, uulgo. 6. *τᾷ ΒΕ*]

$$2(AB + B\Gamma) : 2B\varDelta = A\varDelta : \varDelta E^{1)},$$

et $\varDelta B + B\Gamma : EB$[2]), et omnia ad omnia.[3]) erit igitur

$$A\varDelta : \varDelta E = 2AB + 3\Gamma B + \varDelta B : 2B\varDelta + BE.$$

itaque quam rationem habet

$$2AB + 4B\Gamma + 4B\varDelta + 2BE : 2\varDelta B + EB,$$

eam habebit $\varDelta A$ ad lineam minorem linea $\varDelta E$ [Eucl. V, 8]. habeat ad lineam $\varDelta O$. et etiam utraeque simul sumptae ad primas eandem rationem habebunt. quare erit

$$OA : A\varDelta = 2AB + 4\Gamma B + 6B\varDelta + 3BE$$
$$: 2(AB + EB) + 4(\Gamma B + B\varDelta).^{4)}$$

sed etiam [ex hypothesi] erat

$$A\varDelta : H\Theta = 5(AB + BE) + 10(\Gamma B + B\varDelta)$$
$$: 2AB + 4\Gamma B + 3EB + 6B\varDelta.$$

proportionibus autem inaequaliter ordinatis, siue in perturbata ratione, ex aequali erit [Eucl. V, 23]

$$OA : H\Theta = 5(AB + BE) + 10(\Gamma B + B\varDelta)$$
$$: 2(AB + BE) + 4(\Gamma B + B\varDelta).$$

---

1) Erat (p. 219 not. 3) $AB : B\Gamma = A\Gamma : \Gamma\varDelta$, h. e. $AB + B\Gamma : B\Gamma = A\varDelta : \Gamma\varDelta$. sed $B\Gamma : B\varDelta = \Gamma\varDelta : \varDelta E$; quare δι' ἴσου $AB + B\Gamma : B\varDelta = A\varDelta : \varDelta E$.

2) $B\Gamma : B\varDelta = A\Gamma : \Gamma\varDelta$ (p. 219 not. 3); unde
$$B\Gamma + B\varDelta : B\varDelta = A\varDelta : \Gamma\varDelta;$$
sed $B\varDelta : BE = \Gamma\varDelta : \varDelta E$ (p. 219 not. 3); quare
$$B\Gamma + B\varDelta : BE = A\varDelta : \varDelta E.$$

3) Erat $2(AB + B\Gamma) : 2B\varDelta = B\Gamma + B\varDelta : BE = A\varDelta : \varDelta E$; tum u. Eucl. V, 12, unde intellegitur, πάντα ποτὶ πάντα esse: πάντα τὰ ἡγούμενα πρὸς πάντα τὰ ἑπόμενα.

4) H. e. ἀνάπαλιν et συνθέντι.

---

scripsi; ταν BE F, uulgo. 7. AB] B F; corr. AB. 10. τᾷ] scripsi; ταν F, uulgo. 11. $\varDelta O$] $\varDelta\Theta$ F; corr. Torellius. 12. OA] ΘA F; corr. ed. Basil. 14. καὶ τετραπλασίᾳ τᾶς ΓB] om. F; corr. ed. Basil. 25. OA] A F; corr. ed. Basil. πενταπλασίᾳ] $\overline{\varDelta E}$ F; corr. ed. Basil. 26. τᾶν] scripsi; τας F, uulgo.

συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* μετὰ τᾶς δεκαπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ* ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* καὶ τετραπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ* λόγον ἔχει, ὃν πέντε ποτὶ δύο. καὶ ἁ *ΑΟ* ἄρα ποτὶ *ΗΘ* λόγον ἔχει, ὃν πέντε ποτὶ δύο. πάλιν ἐπεὶ ἁ *ΟΔ* ποτὶ *ΔΑ* τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ *ΕΒ* μετὰ τᾶς διπλασίας τᾶς *ΒΔ* ποτὶ τὰν ἴσαν τᾷ συγκειμένᾳ ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* μετὰ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ*, ἔστιν δὲ καί, ὡς ἁ *ΑΔ* ποτὶ *ΔΕ*, οὕτως ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας τᾶς *ΑΒ* καὶ τριπλασίας τᾶς *ΓΒ* καὶ τᾶς *ΒΔ* ποτὶ τὰν ἴσαν τᾷ τε *ΕΒ* καὶ τᾷ διπλασίᾳ τᾶς *ΒΔ*, ἀνομοίως οὖν τῶν λόγων τεταγμένων, τουτέστιν τεταραγμένας ἐούσας τᾶς ἀναλογίας, δι' ἴσου ἐστίν, ὡς ἁ *ΟΔ* ποτὶ *ΔΕ*, οὕτως ἁ διπλασία τᾶς *ΑΒ* μετὰ τᾶς τριπλασίας τᾶς *ΒΓ* καὶ ἁ *ΒΔ* ποτὶ τὰν συγκειμέναν ἐκ τᾶς διπλασίας συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* καὶ τᾶς τετραπλασίας τᾶν *ΓΒ*, *ΒΔ*. ὥστε καὶ ὡς ἁ *ΟΕ* ποτὶ *ΕΔ* ἐστιν, οὕτως ἁ *ΓΒ* μετὰ τᾶς τριπλασίας τᾶς *ΒΔ* καὶ διπλασίας τᾶς *ΕΒ* ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* καὶ τετραπλασίαν συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ*. ἔστιν δὲ καί, ὡς ἁ *ΔΕ* ποτὶ *ΕΒ*, οὕτως ἅ τε *ΑΓ* ποτὶ *ΓΒ*· ἐπεὶ καὶ κατὰ σύνθεσιν· καὶ ἁ τριπλασία τᾶς *ΓΔ* ποτὶ τὰν τριπλασίαν τᾶς *ΔΒ*, καὶ ἁ διπλασία τᾶς *ΔΕ* ποτὶ τὰν διπλασίαν τᾶς *ΕΒ*. ὥστε καὶ ἁ συγκειμένα ἔκ τε τᾶς *ΑΓ* καὶ τριπλασίας τᾶς *ΓΔ* καὶ διπλασίας τᾶς *ΔΕ* ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς *ΓΒ* καὶ τριπλασίας τᾶς *ΔΒ* καὶ διπλασίας τᾶς

---

2. προς per comp. F; corr. Torellius, ut lin. 5 bis, 6 bis, 8, 11, 15, 17, 19, 21, 23, 24, 25, 26, 28. 6. *ΟΔ*] *ΘΔ* F;

sed $5(AB + BE) + 10(\Gamma B + B\Delta)$
$: 2(AB + BE) + 4(\Gamma B + B\Delta) = 5 : 2.$[1])
quare etiam $AO : H\Theta = 5 : 2$. rursus quoniam est $O\Delta : \Delta A = EB + 2B\Delta : 2(AB + BE) + 4(\Gamma B + B\Delta)$ [Eucl. V, 7 coroll.], et etiam

$$A\Delta : \Delta E = 2AB + 3\Gamma B + B\Delta : EB + 2B\Delta,$$

inaequaliter ordinatis rationibus siue proportione perturbata, ex aequali erit [Eucl. V, 23]

$$O\Delta : \Delta E = 2AB + 3B\Gamma + B\Delta$$
$$: 2(AB + BE) + 4(\Gamma B + B\Delta).$$

quare etiam

$$OE : E\Delta = \Gamma B + 3B\Delta + 2EB$$
$$: 2(AB + BE) + 4(\Gamma B + B\Delta)$$

[*ἀνάπαλιν* Eucl. V, 7 coroll. et *ἀναστρέψαντι* V, 19 coroll. et *ἀνάπαλιν*]. sed etiam $\Delta E : EB = A\Gamma : \Gamma B$ (quoniam etiam componendo

[est $AB : B\Gamma = \Delta B : EB$])[2]) $= 3\Gamma\Delta : 3\Delta B$
$= 2\Delta E : 2EB$.

quare etiam

$$A\Gamma + 3\Gamma\Delta + 2\Delta E$$
$$: \Gamma B + 3\Delta B + 2EB \; [= \Delta E : EB].$$[3])

---

1) Cfr. Quaest. Arch. p. 48.

2) Hinc enim *διελόντι* (Eucl. V, 17) $A\Gamma : B\Gamma = \Delta E : EB$; cfr. Quaest. Arch. p. 147.

3) Nam $A\Gamma : \Gamma B = 2\Delta E : 2EB = \Gamma\Delta : \Delta B$ (p. 219 not. 3) $= 3\Gamma\Delta : 3\Delta B$; unde ex Eucl. V, 12:
$A\Gamma + 2\Delta E + 3\Gamma\Delta : \Gamma B + 2EB + 3\Delta B = 2\Delta E : 2EB$.

---

corr. B. 8. *ταν συγκειμεναν* F; corr. B. 10. $A\Delta$] ΔB F; corr. A. 13. $B\Delta$] $HB\Delta$ F; corr. A. 14. *τεταγμένων*] *τετμημενων* FV. *τεταραγμενος* F. 15. *ουσας* F, uulgo. *ἐστίν*] om. FV. $O\Delta$] $\Theta\Delta$ F; corr. ed. Basil. 19. *τᾶν*] scripsi; *τας* F, uulgo; *συναμφοτέρου τᾶς* Torellius. OE] scripsi; ΘE F, uulgo; EO ed. Basil., Torellius. 20. *οὗτως*] *ως* F. 27. *τριπλασίας*] Γ' F, uulgo; *ά γ̄* ed. Basil., Torellius.

ΕΒ. ἀνομοίως οὖν πάλιν τῶν λόγων τεταγμένων, τουτέστιν ἐν τεταραγμένᾳ ἀναλογίᾳ, δι' ἴσου τὸν αὐτὸν ἕξει λόγον ἁ *ΕΟ* ποτὶ *ΕΒ*, ὃν ἁ *ΑΓ* μετὰ τᾶς τριπλασίας τᾶς *ΓΔ* καὶ διπλασίας τᾶς *ΔΕ* ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* μετὰ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ*. ὅλα οὖν ἁ *ΟΒ* ποτὶ *ΒΕ* τὸν αὐτὸν ἔχει λόγον, ὃν ἁ ἴσα τᾷ τε τριπλασίᾳ τᾶς *ΑΒ* μετὰ τᾶς ἑξαπλασίας τᾶς *ΓΒ* καὶ τᾷ τριπλασίᾳ τᾶς *ΒΔ* ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΕ* μετὰ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ*. καὶ ἐπεὶ αἵ τε *ΕΔ*, *ΔΓ*, *ΓΑ* ἐν τῷ αὐτῷ λόγῳ ἐντὶ καὶ συναμφότερος ἑκάστα τᾶν *ΕΒ*, *ΒΔ*, *ΔΒ*, *ΒΓ*, *ΓΒ*, *ΒΑ*, ἐσσεῖται καί, ὡς ἁ *ΕΔ* ποτὶ *ΔΑ*, οὕτως συναμφότερος ἁ *ΕΒ*, *ΒΔ* ποτὶ συναμφότερον τὰν *ΔΒ*, *ΒΓ* μετὰ τᾶς συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΑ*. καὶ συνθέντι ἄρα ἐστίν, ὡς ἁ *ΑΕ* ποτὶ *ΑΔ*, οὕτως συναμφότερος ἁ *ΕΒ*, *ΒΔ* μετὰ συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΓ* καὶ συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ*, ὅ ἐστι συναμφότερος ἁ *ΕΒ*, *ΒΑ* μετὰ τᾶς διπλασίας συναμφοτέρου τᾶς *ΔΒ*, *ΒΓ* ποτὶ συναμφότερον τὰν *ΒΔ*, *ΒΑ* μετὰ τᾶς διπλασίας τᾶς *ΒΓ*. ὥστε καὶ ἁ διπλασία ποτὶ τὰν διπλασίαν τὸν αὐτὸν ἕξει λόγον, τουτέστιν ὡς ἁ *ΕΑ* ποτὶ *ΑΔ*, οὕτως ἁ διπλασία συναμφοτέρου τᾶς *ΕΒ*, *ΒΑ* μετὰ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς *ΓΒ*, *ΒΔ* ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς *ΑΒ*, *ΒΔ* μετὰ τᾶς τετραπλασίας τᾶς *ΓΒ*. ὥστε καὶ

3. *ΕΟ*] *ΕΘ* F; corr. ed. Basil. προς per comp. F; corr. Torellius, ut semper in hac pagina. 4. τριπλασίας τᾶς] om. F; corr. A. τάν] addidi; om. F, uulgo. 7. *ΟΒ*] *ΕΒ* F; corr. ed. Basil. 13. ἔσται per comp. F, uulgo. 16. ὡς] om. F; corr. A. ἁ *ΑΕ*] ἁ addidi; om. F, uulgo. 18. *ΓΒΔ* F; corr. Torellius. 19. *ΕΒΑ* F, uulgo, ut lin. 24.

rursus igitur rationibus inaequaliter ordinatis siue proportione perturbata, ex aequali erit:

$$EO : EB = A\Gamma + 3\Gamma\Delta + 2\Delta E$$
$$: 2(AB + BE) + 4(\Gamma B + B\Delta)$$

[Eucl. V, 23]. itaque [συνθέντι Eucl. V, 18]:

$$OB : BE = 3AB + 6\Gamma B + 3B\Delta^{1)}$$
$$: 2(AB + BE) + 4(\Gamma B + B\Delta).$$

et quoniam lineae $E\Delta$, $\Delta\Gamma$, ΓA et

$$EB + B\Delta,\ \Delta B + B\Gamma,\ \Gamma B + BA$$

in eadem ratione sunt[2]), erit etiam

$$E\Delta : \Delta A = EB + B\Delta : \Delta B + B\Gamma + \Gamma B + BA.^{3)}$$

quare etiam componendo [Eucl. V, 18] erit

$$AE : A\Delta = EB + B\Delta + AB + B\Gamma + \Gamma B + B\Delta$$
$$: B\Delta + BA + 2B\Gamma = EB + BA + 2(\Delta B + B\Gamma)$$
$$: B\Delta + BA + 2B\Gamma = 2(EB + BA) + 4(\Delta B + B\Gamma)$$
$$: 2(B\Delta + BA) + 4B\Gamma.$$

---

1) Nam $A\Gamma + 3\Gamma\Delta + 2\Delta E + 2AB + 2BE + 4\Gamma B + 4B\Delta$
$= 2AB + (A\Gamma + \Gamma B) + 3(\Gamma\Delta + B\Delta) + 2(\Delta E + BE) + 3\Gamma B + B\Delta$
$= 3AB + 3\Gamma B + 2B\Delta + 3\Gamma B + B\Delta.$

2) H. e. $E\Delta : \Delta\Gamma = \Delta\Gamma : \Gamma A = EB + B\Delta : \Delta B + B\Gamma$
$= \Delta B + B\Gamma : \Gamma B + BA$;
quod facile ex p. 219 not. 3 et Eucl. V, 12 concluditur.

3) Est enim
$E\Delta : \Delta\Gamma : \Gamma A = EB + B\Delta : \Delta B + B\Gamma : \Gamma B + BA$;
quare
$E\Delta : \Delta\Gamma + \Gamma A = EB + B\Delta : (\Delta B + B\Gamma) + (\Gamma B + BA)$;
cfr. Quaest. Arch. p. 48.

---

20. $\Delta B\Gamma$ F, uulgo, ut lin. 25, p. 226, 3: $\Gamma B\Delta$; lin. 26: $AB\Delta$; p. 226 lin. 2 ABE; ibid. lin. 5: $AB\Delta$. 21. BA] ΔA F. 24. μετὰ τᾶς τετραπλασίας ad τᾶς AB, $B\Delta$ lin. 26 repetita in F; corr. B. 26. ΓB] ΓE F; corr. Basil.

ὡς ἁ EA ποτὶ τὰ τρία πέμπτα τᾶς $A\Delta$, οὕτως ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς AB, BE καὶ τετραπλασίας συναμφοτέρου τᾶς ΓB, $B\Delta$ ποτὶ τὰ τρία πέμπτα τᾶς συγκειμένας ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ καὶ τετραπλασίας τᾶς ΓB. ἀλλ' ὡς ἁ EA ποτὶ τὰ τρία πέμπτα τᾶς $A\Delta$, οὕτως ἐστὶν ἁ EB ποτὶ ZH. καὶ ὡς ἄρα ἁ EB ποτὶ ZH, οὕτως ἁ διπλασία συναμφοτέρου τᾶς AB, BE μετὰ τᾶς τετραπλασίας συναμφοτέρου τᾶς ΔB, $B\Gamma$ ποτὶ τὰ τρία πέμπτα τᾶς συγκειμένας ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ μετὰ τᾶς τετραπλασίας τᾶς ΓB. ἐδείχθη δὲ καί, ὡς ἁ OB ποτὶ EB, οὕτως ἁ τριπλασία συναμφοτέρου τᾶς AB, $B\Delta$ μετὰ τᾶς ἑξαπλασίας τᾶς ΓB ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς AB, BE καὶ τετραπλασίαν συναμφοτέρου τᾶς ΓB, $B\Delta$. καὶ δι' ἴσου ἄρα ἐστίν, ὡς ἁ OB ποτὶ ZH, οὕτως ἁ συγκειμένα ἔκ τε τᾶς τριπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ καὶ ἑξαπλασίας τᾶς ΓB ποτὶ τὰ τρία πέμπτα τᾶς συγκειμένας ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ καὶ τετραπλασίας τᾶς ΓB. ἀλλὰ ἁ συγκειμένα ἔκ τε τᾶς τριπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ καὶ ἑξαπλασίας τᾶς ΓB ποτὶ μὲν τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας συναμφοτέρου τᾶς AB, $B\Delta$ καὶ τετραπλασίας τᾶς ΓB λόγον ἔχει, ὃν τρία ποτὶ δύο, ποτὶ δὲ τὰ τρία πέμπτα τᾶς αὐτᾶς λόγον ἔχει, ὃν

2. τε] τ supra scripto ε F. 3. προς per comp. F; corr. Torellius, ut semper in hac pagina. 12. OB] AB F; corr. ed. Basil. 16. OB] EB F; corr. ed. Basil. 22. ἑξαπλασίας] εκτου FVA; ϛ' uulgo. 23. $AB\Delta$ F, uulgo, ut lin. 11, 13, 18, 20, 22; sic etiam lin. 8: ABE; lin. 9: $\Delta B\Gamma$; lin. 15: ABE; ibidem: $\Gamma B\Delta$. 24. ποτί] πρ̊ F; corr. Torellius.

quare etiam

$$AE : \tfrac{3}{5} A\Delta = 2(EB + BA) + 4(\Delta B + B\Gamma) : \tfrac{3}{5}(2(B\Delta + BA) + 4B\Gamma).$$

sed

$$AE : \tfrac{3}{5} A\Delta = EB : ZH.$$ [1]

quare etiam

$$EB : ZH = 2(AB + BE) + 4(\Delta B + B\Gamma) : \tfrac{3}{5}(2(AB + B\Delta) + 4\Gamma B).$$

sed demonstratum est, esse

$$OB : EB = 3(AB + B\Delta) + 6\Gamma B : 2(AB + BE) + 4(\Gamma B + B\Delta).$$

itaque etiam ex aequali [Eucl. V, 22] erit

$$OB : ZH = 3(AB + B\Delta) + 6\Gamma B : \tfrac{3}{5}(2(AB + B\Delta) + 4\Gamma B).$$

sed

$3(AB + B\Delta) + 6\Gamma B : 2(AB + B\Delta) + 4\Gamma B = 3 : 2$ [2],

et

$3(AB + B\Delta) + 6\Gamma B : \tfrac{3}{5}(2(AB + B\Delta) + 4\Gamma B) = 5 : 2.$

---

1) Quia ex hypothesi est $EB : AE = ZH : \tfrac{3}{5} A\Delta$; tum ἐναλλάξ.

2) Eucl. VI, 16; nam

$$2 \times (3(AB + B\Delta) + 6\Gamma B) = 6(AB + B\Delta) + 12\Gamma B = 3 \times (2(AB + B\Delta) + 4\Gamma B).$$

quare

$$3(AB + B\Delta) + 6\Gamma B : \tfrac{3}{5}(2(AB + B\Delta) + 4\Gamma B) = 3 : 2 \times \tfrac{3}{5} = 5 : 2.$$

πέντε ποτὶ δύο. ἐδείχθη δὲ καὶ ἁ ΑΟ ποτὶ ΗΘ λόγον ἔχουσα, ὃν πέντε ποτὶ δύο. καὶ ὅλα ἄρα ἁ ΒΑ ποτὶ ὅλαν τὰν ΖΘ λόγον ἔχει, ὃν πέντε ποτὶ δύο. εἰ δὲ τοῦτο, δύο πεμπταμόριά ἐντι ἁ ΖΘ τᾶς ΑΒ. ὅπερ ἔδει δεῖξαι.

ι'.

Παντὸς τόμου ἀπὸ ὀρθογωνίου κώνου τομᾶς ἀφαιρουμένου τὸ κέντρον τοῦ βάρεος ἐπὶ τᾶς εὐθείας ἐστίν, ἃ διάμετρός ἐστι τοῦ τόμου, τόνδε τὸν τρόπον κείμενον· διαιρεθείσας τᾶς εὐθείας εἰς ἴσα πέντε ἐπὶ μέσου πεμπταμορίου, ὥστε τὸ τμᾶμα αὐτοῦ τὸ ἐγγύτερον τᾶς ἐλάσσονος βάσιος τοῦ τόμου ποτὶ τὸ λοιπὸν τμᾶμα τὸν αὐτὸν ἔχειν λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ τᾶς μείζονος τᾶν βασίων τοῦ τόμου, ὕψος δὲ τὰν ἴσαν συναμφοτέρᾳ τᾷ τε διπλασίᾳ τᾶς ἐλάσσονος τᾶν βασίων καὶ τᾷ μείζονι ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ τετράγωνον τὸ ἀπὸ τᾶς ἐλάσσονος τᾶν βασίων τοῦ τόμου, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέρᾳ τᾷ τε διπλασίᾳ τᾶς μείζονος καὶ τᾷ ἐλάσσονι αὐτᾶν.

ἔστωσαν ἐν ὀρθογωνίου κώνου τομᾷ δύο εὐθεῖαι αἱ ΑΓ, ΔΕ. διάμετρος δὲ ἔστω τοῦ ΑΒΓ τμάματος ἁ ΒΖ. φανερὸν δή, ὅτι καὶ τοῦ ΑΔΕΓ τόμου διά-

1. *ποτί* (bis)] per comp. F; corr. Torellius, ut lin. 2 bis, 3. *ΑΟ*] *Α* F; corr. B. 2. *ΒΑ*] *ΒΘ* F; corr. AB. 4. *πεμπτημορια* F; corr. Torellius. *ΑΒ*] *ΔΒ* F; corr. AB. *ὅπερ ἔδει δεῖξαι*] $\overline{οι}$ FV; *ὅπερ ἔδει* uulgo; corr. Torellius. 9. *ἃ*] om. F. *τόν*] addidi; om. F, uulgo. 14. *ἡμίσους τᾶς μείζονος* et lin. 18: *ἡμίσους τᾶς ἐλάσσονος* ed. Basil., Torellius. 15. *των* per comp. F; corr. Torellius, ut lin. 16. *βασεων* F, uulgo, ut lin. 16, 18. 16. *τᾷ* (alt.)] *το* F, uulgo; *τῷ* BD; corr. Torellius. 19. *ἀμφοτέρᾳ*] scripsi; *αμφοτερας* F, uulgo; *ἀμ-*

sed demonstratum est etiam $AO : H\Theta = 5 : 2$ [p. 222, 5] [itaque $OB : ZH = AO : H\Theta = 5 : 2$]. quare etiam $BA : Z\Theta = 5 : 2$ [Eucl. V, 12]. itaque

$$Z\Theta = \tfrac{2}{5} AB;$$

quod erat demonstrandum.

X.

Cuiusuis frusti[1]) a sectione coni rectanguli ablati centrum grauitatis in ea linea, quae diametrus est frusti[2]), ita positum est: linea in quinque partes aequales diuisa in media quinta parte ita positum, ut pars eius minori basi propior ad reliquam partem eandem rationem habeat, quam magnitudo solida basim habens quadratum maioris basis frusti, altitudinem autem aequalem simul duplici basi minori et maiori basi ad magnitudinem solidam basim habentem quadratum basis minoris frusti, altitudinem autem lineam aequalem simul duplici basi maiori et minori earum.

in sectione coni rectanguli duae lineae [parallelae] sint $A\Gamma$, ΔE; et segmenti $AB\Gamma$ diametrus sit BZ. adparet igitur, etiam frusti $A\Delta E\Gamma$ diametrum esse ZH, quia lineae $A\Gamma$, ΔE parallelae sunt lineae in

---

1) Intellegitur pars parabolae duabus lineis parallelis abscisa, quasi trapezium quoddam, cuius duo latera parallela, duo partes parabolae sunt; cfr. I, 15.

2) H. e. linea, quae puncta media laterum parallelorum coniungit; u. Eutocius.

φοτέραις Torellius. 21. ἐν] om. F; corr. Torellius. τομαι F; corr. Torellius. 23. δή] Torellius cum Eutocio; δε F, uulgo. $A\Delta E\Gamma$ ad ἁ ZH p. 230 lin. 1 om. F, uulgo; ex Eutocio suppl. ed. Basil. (om. τόμου) et Torellius (HZ pro ZH).

μετρός ἐστιν ἁ ΖΗ, ἐπεὶ αἱ ΑΓ, ΔΕ παραλλήλοι ἐντὶ τᾷ κατὰ τὸ Β ἐφαπτομένᾳ τᾶς τομᾶς. καὶ τᾶς ΗΖ εὐθείας διαιρεθείσας εἰς πέντε ἴσα μέσον ἔστω πεμπταμόριον ἁ ΘΚ. ἁ δὲ ΘΙ ποτὶ τὰν ΙΚ τὸν αὐτον ἐχέτω λόγον, ὃν ἔχει τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ τᾶς ΑΖ τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις τᾷ τε διπλασίᾳ τᾶς ΔΗ καὶ τᾷ ΑΖ ποτὶ τὸ στερεὸν τὸ βάσιν ἔχον τὸ ἀπὸ τᾶς ΔΗ τετράγωνον, ὕψος δὲ τὰν ἴσαν ἀμφοτέραις τᾷ διπλασίᾳ τᾶς ΑΖ καὶ τᾷ ΔΗ. δεικτέον, ὅτι τοῦ ΑΔΕΓ τόμου κέντρον ἐστὶ τοῦ βάρεος τὸ Ι σαμεῖον.

ἔστω δὴ τᾷ μὲν ΖΒ ἴσα ἁ ΜΝ, τᾷ δὲ ΗΒ ἴσα ἁ ΝΟ, καὶ λελάφθω τᾶν μὲν ΜΝ, ΝΟ μέσα ἀνάλογον ἁ ΝΞ, τετάρτα δὲ ἀνάλογον ἁ ΤΝ. καὶ ὡς ἁ ΤΜ ποτὶ ΤΝ, οὕτως ἁ ΖΘ ποτί τινα ἀπὸ τοῦ Ι, ὅπου ἂν ἐρχήται τὸ ἕτερον σαμεῖον· οὐδὲν γὰρ διαφέρει, εἴτε καὶ μεταξὺ τῶν Ζ, Η εἴτε καὶ μεταξὺ τῶν Η, Β· τὰν ΙΡ. καὶ ἐπεὶ ἐν ὀρθογωνίου κώνου τομᾷ διάμετρός ἐστι τοῦ τμάματος ἁ ΖΒ, ἁ ΒΖ ἤτοι ἀρχικά ἐστι τᾶς τομᾶς ἢ παρὰ τὰν διάμετρον ἄκται, αἱ δὲ ΑΖ, ΔΗ εἰς αὐτὰν τεταγμένως ἐντὶ καταγμέναι, ἐπειδὴ παραλλήλοι ἐντὶ τᾷ ἐπὶ τοῦ Β τᾶς τομᾶς ἐφαπτομένᾳ.

---

1. ἐπεὶ αἱ] scripsi; om. F, uulgo; ed. Basil. et Torellius: καὶ αἱ μέν. 2. ΗΖ] ΕΖ FV. 4. προς per comp. F; corr. Torellius. 6. τᾶς] της F; corr. V(?). ΑΖ] ΛΖ F; corr. B. τετραγωνων (comp.) F; corr. Torellius. 7. ΔΗ] ΖΗ F; corr. AB. 10. ΑΔΓ FV. 12. ΖΒ] ΖΕ FV. 13. ἁ ΝΟ] α ΝΘ FV. ειληφθω F, uulgo. ΜΝ, ΝΟ] Torellius; ΜΝΘ F; ΜΝΟ uulgo. 14. ΜΞ F. τεταρτη F; corr. Torellius. ἁ ΤΜ] ἡ ΤΜ F, uulgo. 15. ποτί] προς per comp. F; corr. Torellius, ut semper posthac in hac prop. 16. ἂν] εαν F; corr. B. ἕτερον] στερεον F; corr. B. 18. την F; corr. Torellius, ut lin. 20. 19. αρχηκη F; αρχικη uulgo; ἀρχή ed. Basil.; ἀρχά Torellius. 20. της τομης (comp.) F; corr. To-

puncto B segmentum contingenti.[1]) et linea HZ in quinque partes aequales diuisa, media pars quinta sit ΘK. et sit

$$\Theta I : IK = AZ^2 \times (2\Delta H + AZ) : \Delta H^2 \times (2AZ + \Delta H).^{2)}$$

demonstrandum, frusti $A\Delta E\Gamma$ centrum grauitatis esse punctum I.

sit igitur $MN = ZB$, $NO = HB$, et fiat

$$MN : N\Xi = N\Xi : NO$$

et $MN : NO = N\Xi : TN$ et $TM : TN = Z\Theta : IP$, sumpta a puncto I linea aliqua, quocunque alterum punctum cadit; nam nihil interest, utrum inter Z, H an inter H, B cadat. et quoniam in sectione coni rectanguli diametrus segmenti est ZB, aut axis est sectionis aut diametro parallela[3]); et lineae AZ, ΔH ordinate[4]) ad eam ductae sunt, quoniam lineae in B sectionem contingenti parallelae sunt. quare erit

1) Ex Eutocio adparet, Archimedem diserte addidisse, esse $\Delta H = HE$ et $AZ = Z\Gamma$; tum u. quadr. parab. 1, b. ceterum uerba ἐπεὶ αἵ lin. 1 ad τᾶς τομᾶς lin. 2 uix genuina sunt, nec ea habuisse uidetur Eutocius.

2) In ipsa propositione hanc proportionem significat:
$$A\Gamma^2 \times (2\Delta E + A\Gamma) : \Delta E^2 \times (2A\Gamma + \Delta E),$$
sed cum $A\Gamma = 2AZ$, $\Delta E = 2\Delta H$, erit
$$A\Gamma^2 \times (2\Delta E + A\Gamma) : \Delta E^2 \times (2A\Gamma + \Delta E)$$
$$= 4AZ^2 \times (4\Delta H + 2AZ) : 4\Delta H^2 \times (4AZ + 2\Delta H)$$
$$= AZ^2 \times (2\Delta H + AZ) : \Delta H^2 \times (2AZ + \Delta H).$$

3) U. Zeitschr. f. Math., hist. Abth. XXV p. 51 nr. 14. ἀρχικά est axis siue, ut apud Archimedem uocatur, διαμετρὸς τᾶς τομᾶς; idem per διάμετρον lin. 20 significatur.

4) Cfr. Apollon. con. I def. 17.

rellius. ηκται F; corr. Torellius. 21. αὐτ cum comp. ην F; corr. Torellius. εἰσι per comp. F, uulgo. κατηγμεναι F, uulgo. 22. εἰσιν F, uulgo. ἐπί] scripsi; απο F, uulgo. εφαπτομεναι FV.

εἰ δὲ τοῦτο, ἔστιν ὡς ἁ AZ ποτὶ $\varDelta H$ δυνάμει, οὕτως ἁ ZB ποτὶ BH μάκει, τουτέστιν ἁ MN ποτὶ $N\Xi$ δυνάμει. καὶ ὡς ἄρα ἁ AZ ποτὶ $\varDelta H$ δυνάμει, οὕτως ἁ MN ποτὶ $N\Xi$ δυνάμει. ὥστε καὶ μάκει ἐν τῷ αὐτῷ λόγῳ. καὶ ὡς ἄρα ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ $\varDelta H$ κύβον, οὕτως ὁ ἀπὸ MN κύβος ποτὶ τὸν ἀπὸ $N\Xi$ κύβον. ἀλλ' ὡς μὲν ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ $\varDelta H$ κύβον, οὕτως τὸ $BA\Gamma$ τμᾶμα ποτὶ τὸ $\varDelta BE$ τμᾶμα, ὡς δὲ ὁ ἀπὸ MN κύβος ποτὶ τὸν ἀπὸ $N\Xi$ κύβον, οὕτως ἁ MN ποτὶ NT. ὥστε καὶ διελόντι ἐστὶν ὡς ὁ $A\varDelta\Gamma E$ τόμος ποτὶ τὸ $\varDelta BE$ τμᾶμα, οὕτως ἁ MT ποτὶ NT, τουτέστι τὰ τρία πέμπτα τᾶς HZ ποτὶ IP. καὶ ἐπεὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ AZ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς $\varDelta H$ καὶ τᾶς AZ ποτὶ τὸν ἀπὸ AZ κύβον λόγον ἔχει, ὃν ἁ διπλασία τᾶς $\varDelta H$ μετὰ τᾶς AZ ποτὶ ZA, ὥστε καί, ὃν ἁ διπλασία τᾶς $N\Xi$ μετὰ τᾶς NM ποτὶ NM, ἔστι δὲ καί, ὡς ὁ ἀπὸ AZ κύβος ποτὶ τὸν ἀπὸ $\varDelta H$ κύβον, οὕτως ἁ MN ποτὶ NT, ὡς δὲ ὁ ἀπὸ $\varDelta H$ κύβος ποτὶ τὸ στερεὸν το βάσιν μὲν ἔχον τὸ ἀπὸ $\varDelta H$ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς AZ μετὰ τᾶς $\varDelta H$, οὕτως ἁ $\varDelta H$ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς AZ καὶ τᾶς $\varDelta H$, ὥστε καὶ ἁ TN ποτὶ

1. ἁ AZ] η AZ F; corr. Torellius. 4. Post MN addunt ed. Basil. et Torellius: ποτὶ NO. ὡς δὲ ἁ MN ποτὶ NO μάκει, οὕτως ἁ MN (πρός ed. Basil.). 11. τόμος] scripsi; τομευς F, uulgo. $\varDelta B$ FV. 13. IP] NT F; corr. Torellius. 14. τῆς AZ Eutocius. 17. ὅν] om. F; corr. Torellius. 19. $\varDelta H$] $\varDelta N$ F. 21. την συγκειμενην (comp. ην) F; corr. Torellius, ut lin. 23; εὐθεῖαν addit Eutocius. 22. τᾶς διπλασίας τᾶς] της της FC; της uulgo; διπλασίας add. ed. Basil., Cr; τῆς corr. Torellius. μετά] καί Eutocius. 24. διπλασίας] om. F; corr. ed. Basil., Cr.

$$AZ^2 : \varDelta H^2 = ZB : BH^{1)},$$

h. e. $MN^2 : N\varXi^2$.[2]) itaque $AZ^2 : \varDelta H^2 = MN^2 : N\varXi^2$. quare etiam $AZ : \varDelta H = MN : N\varXi$. itaque etiam $AZ^3 : \varDelta H^3 = MN^3 : N\varXi^3$. sed

$$AZ^3 : \varDelta H^3 = BA\varGamma : \varDelta BE \text{ [u. Eutocius]},$$

et $MN^3 : N\varXi^3 = MN : NT$.[3]) quare etiam dirimendo [Eucl. V, 17]

$$A\varDelta\varGamma E : \varDelta BE = MT : NT = \tfrac{3}{5} HZ : IP.^{4)}$$

et quoniam

$$AZ^2 \times (2\varDelta H + AZ) : AZ^3 = 2\varDelta H + AZ : AZ$$
$$= 2N\varXi + NM : NM^{5)},$$



et $AZ^3 : \varDelta H^3 = MN : NT$ [lin. 5 sq. et 9],

et $\varDelta H^3 : \varDelta H^2 \times (2AZ + \varDelta H) = \varDelta H : 2AZ + \varDelta H$

$$= TN : 2ON + TN^{6)},$$

---

1) Quadr. parab. 3; Apollon. con. I, 20. Zeitschr. f. Math., hist. Abth. XXV p. 50 nr. 12.

2) Nam $MN : N\varXi = N\varXi : NO$; unde $MN : NO = MN^2 : N\varXi^2$ (Eucl. V def. 10) $= ZB : BH$.

3) Quia $MN : NO = MN^2 : N\varXi^2 = N\varXi : TN$;
et $MN : N\varXi = MN : N\varXi$;
tum multiplicando.

4) Nam $MT : NT = Z\Theta : IP$ (ex hypothesi) et $Z\Theta = \tfrac{3}{5} HZ$.

5) Nam $AZ : \varDelta H = MN : N\varXi$; tum u. Quaest. Arch. p. 48.

6) Nam $AZ : \varDelta H = MN : N\varXi = NO : TN$ (ex hypothesi, ἐναλλάξ); tum u. Quaest. Arch. p. 48.

τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΟΝ καὶ τᾶς ΤΝ, γέγονεν οὖν τέσσαρα μεγέθεα, τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΑΖ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΔΗ καὶ τᾶς ΑΖ, καὶ ὁ ἀπὸ ΑΖ κύβος, καὶ ὁ ἀπὸ ΔΗ κύβος, καὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔΗ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΑΖ καὶ τᾶς ΔΗ, τέτταρσι μεγέθεσιν ἀνάλογον σὺν δύο λαμβανομένοις τᾷ τε συγκειμένᾳ ἔκ τε τᾶς διπλασίας τᾶς ΝΞ καὶ τᾶς ΝΜ καὶ ἑτέρῳ μεγέθει τᾷ ΜΝ καὶ ἄλλῳ ἑξῆς τᾷ ΝΤ καὶ τελευταῖον τᾷ συγκειμένᾳ ἔκ τε τᾶς διπλασίας τᾶς ΝΟ καὶ τᾶς ΝΤ. δι' ἴσου ἄρα γενησέται, ὡς τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΑΖ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΔΗ καὶ τᾶς ΑΖ ποτὶ τὸ στερεὸν τὸ βάσιν μὲν ἔχον τὸ ἀπὸ ΔΗ τετράγωνον, ὕψος δὲ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΑΖ καὶ τᾶς ΔΗ, οὕτως ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας τᾶς ΝΞ καὶ τᾶς ΜΝ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΝΟ καὶ τᾶς ΝΤ. ἀλλ' ὡς τὸ εἰρημένον στερεὸν ποτὶ τὸ εἰρημένον στερεόν, οὕτως ἁ ΘΙ ποτὶ ΙΚ. καὶ ὡς ἄρα ἁ ΘΙ ποτὶ ΙΚ, οὕτως ἁ συγκειμένα ποτὶ τὰν συγκειμέναν. ὥστε καὶ συνθέντι καὶ τῶν ἁγουμένων τὰ πενταπλάσια· ἔστιν ἄρα ὡς ἁ ΖΗ ποτὶ ΙΚ, οὕτως ἁ πενταπλασία συναμφοτέρου τᾶς ΜΝ, ΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΝΞ, ΝΟ ποτὶ τὰν διπλασίαν τᾶς ΟΝ καὶ τὰν ΝΤ. καὶ ὡς ἁ ΖΗ ποτὶ ΖΚ ἐοῦσαν αὐτᾶς δύο πέμπτα, οὕτως ἁ πενταπλασία

---

1. *την συγκειμενην* (*ην* per comp.) F; corr. Torellius, ut lin. 7, 14, 17. 2. *μεγεθη* F, uulgo. 4. *διπλασ* F in fine lineae, uulgo. 5. *καὶ ο ἀπὸ ΑΖ*] om. F; corr. ed. Basil.

ergo quattuor[1]) magnitudines sunt, magnitudo solida basim habens AZ^2, altitudinem autem $2\,\varDelta H + AZ$, AZ^3, $\varDelta H^3$, magnitudo solida basim habens $\varDelta H^2$, altitudinem autem $2\,AZ + \varDelta H$, proportionales cum quattuor magnitudinibus binis simul sumptis, $2\,N\Xi + NM$, MN, NT, $2\,NO + NT$.[2]) itaque ex aequali [Eucl. V, 22] erit

$$AZ^2 \times (2\,\varDelta H + AZ) : \varDelta H^2 \times (2\,AZ + \varDelta H) = 2\,N\Xi + MN : 2\,NO + NT.$$

sed

$$AZ^2 \times (2\,\varDelta H + AZ) : \varDelta H^2 \times (2\,AZ + \varDelta H) = \Theta I : IK.$$

quare etiam $2\,N\Xi + MN : 2\,NO + NT = \Theta I : IK$. quare etiam componendo [Eucl. V, 18] et antecedentibus quinquies sumptis:

$ZH : IK = 5(MN + NT) + 10(N\Xi + NO) : 2\,ON + NT$.[3])

1) Hinc paraphrasim dedit Eutocius, Archimedis uerbis sua admiscens; quare ex eo iam nihil ad Archimedis uerba emendanda petendum est.

2) H. e.

$$AZ^2 \times (2\,\varDelta H + AZ) : AZ^3 : \varDelta H^3 : \varDelta H^2 \times (2\,AZ + \varDelta H) = 2\,N\Xi + NM : MN : NT : 2\,NO + NT.$$

3) Nam $ZH = 5\,\Theta K$.

7. της F; corr. Torellius, ut hinc semper in hac propositione. τᾶς AZ] και της AZ F. 9. τη τε συγκειμενη F; corr. Torellius. 10. NM καί] NM και του FA. ετερον μεγεθεος F; corr. Torellius. τᾷ] scripsi; της F, uulgo; τᾶς Torellius. 11. ἄλλῳ] scripsi; αλλο F, uulgo. τᾷ] (bis) ἡ F; corr. Torellius. $N\Gamma$ F. συγκειμενη F; corr. Torellius. 12. διπλασίας] β'H F. 17. τᾶς AZ ad τᾶς διπλασίας lin. 18 om. F; corr. ed. Basil., nisi quod η pro α praebet, quod corr. Torellius. 19. την συγκειμενην F; corr. Torellius; et omnino hinc nusquam in hac proportione α Doricum in codd. seruatum est, sed ubique η irrepsit. 25. πενταπλασία] scripsi; om. F, uulgo; πενταπλῆ ed. Basil., Torellius. 27. τάν] om. F; corr. AB. 28. ουσαν F, uulgo.

συναμφοτέρου τᾶς ΜΝ, ΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΝΞ, ΝΟ ποτὶ τὰν διπλασίαν συναμφοτέρου τᾶς ΜΝ, ΝΤ καὶ τετραπλασίαν συναμφοτέρου τᾶς ΝΞ, ΝΟ. ἐσσεῖται οὖν, ὡς ΖΗ ποτὶ ΖΙ, οὕτως ἁ πενταπλασία συναμφοτέρου τᾶς ΜΝ, ΝΤ καὶ δεκαπλασία συναμφοτέρου τᾶς ΞΝ, ΝΟ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς διπλασίας τᾶς ΜΝ καὶ τετραπλασίας τᾶς ΝΞ καὶ ἑξαπλασίας τᾶς ΟΝ καὶ τριπλασίας τᾶς ΝΤ. ἐπεὶ οὖν τέσσαρες εὐθεῖαι ἑξῆς ἀνάλογον αἵ ΜΝ, ΝΞ, ΟΝ, ΝΤ, καί ἐστιν ὡς μὲν ἁ ΝΤ ποτὶ ΤΜ, οὕτως λελαμμένα τις ἁ ΡΙ ποτὶ τὰ τρία πέμπτα τᾶς ΖΗ, τουτέστι τᾶς ΜΟ, ὡς δὲ ἁ συγκειμένα ἔκ τε τᾶς διπλασίας τᾶς ΝΜ καὶ τετραπλασίας τᾶς ΝΞ καὶ ἑξαπλασίας τᾶς ΝΟ καὶ τριπλασίας τᾶς ΝΤ ποτὶ τὰν συγκειμέναν ἔκ τε τᾶς πενταπλασίας συναμφοτέρου τᾶς ΜΝ, ΝΤ καὶ δεκαπλασίας συναμφοτέρου τᾶς ΞΝ, ΝΟ, οὕτως ἑτέρα τις λελαμμένα ἁ ΙΖ ποτὶ τὰν ΖΗ, τουτέστιν ποτὶ τὰν ΜΟ, ἐσσεῖται διὰ τὸ πρότερον ἁ ΡΖ δύο πέμπτα τᾶς ΜΝ, τουτέστι τᾶς ΖΒ. ὥστε κέντρον βάρεός ἐστι τοῦ ΑΒΓ τμάματος τὸ Ρ σαμεῖον. ἔστω δὴ καὶ τοῦ ΔΒΕ τμάματος κέντρον βάρεος τὶ Χ σαμεῖον. τοῦ ἄρα ΑΔΕΓ τόμου ἐσσεῖται τὸ κέντρον τοῦ βάρεος ἐπὶ τᾶς ἐπ' εὐθείας τᾷ ΧΡ τὸν αὐτὸν ποτὶ αὐτὰν λόγον ἐχούσας, ὃν ἔχει ὁ τόμος ποτὶ τὸ λοιπὸν τμᾶμα. ἔστιν δὲ τὸ Ι σαμεῖον. ἐπεὶ γὰρ τᾶς μὲν ΖΒ τρία πέμπτα ἐστὶν ἁ ΒΡ, τᾶς δὲ ΗΒ

1. *δεκαπλασία*] ῑ FV; *δεκαπλῆ* uulgo. 2. *ΝΞ, ΝΟ*] scripsi; *ΝΞΟ* F, uulgo; *ΞΝΟ* Torellius; eadem omnia lin. 4. 3. *ΜΝΤ* F, uulgo, ut lin. 1, 5, p. 234, 25. 4. *εσται* per comp. F, uulgo. *ὡς ἁ?* 6. *ΞΝ, ΝΟ*] scripsi; *ΞΝC* F; *ΞΝΟ* uulgo. 9. *εἰσιν αἵ* Torellius cum Eutocio. 10. *ΜΝΞ, ΟΝΤ* F, uulgo. 11. *ειλημμενη* F, uulgo, ut lin. 17. 14. *ΝΟ*] *ΝΘ*]

et $ZH : ZK = 5(MN + NT) + 10(N\Xi + NO)$
$: 2(MN + NT) + 4(N\Xi + NO)$,
quia $ZK = \frac{2}{5} ZH$.[1]) quare etiam [ἀνάπαλιν, addendo, ἀνάπαλιν] erit

$$ZH : ZI = 5(MN + NT) + 10(\Xi N + NO)$$
$$: 2MN + 4N\Xi + 6ON + 3NT.$$

iam quoniam quattuor lineae in continua proportione sunt, MN, $N\Xi$, ON, NT [ex hypothesi], et

$$NT : TM = PI : \tfrac{2}{5} ZH = PI : \tfrac{2}{5} MO^{2)},$$

et

$$2NM + 4N\Xi + 6NO + 3NT : 5(MN + NT)$$
$$+ 10(\Xi N + NO) = IZ : ZH = IZ : MO,$$

erit propter praecedens [prop. 9]

$$PZ = \tfrac{2}{5} MN = \tfrac{2}{5} ZB.$$

quare punctum P centrum grauitatis est segmenti $AB\Gamma$ [prop. 8]. sit autem segmenti ΔBE centrum grauitatis punctum X. quare frusti $A\Delta E\Gamma$ centrum grauitatis in linea XP producta positum erit, linea abscisa eandem rationem habenti ad XP, quam habet frustum ad reliquum segmentum [I, 8]. eiusmodi autem est punctum I. nam quoniam $BP = \frac{3}{5} ZB$ et

1) Et
$5(MN + NT) + 10(N\Xi + NO) : 2(MN + NT) + 4(N\Xi + NO)$
$= 5 : 2$ (Eucl. VI, 16).

2) Nam $MO = MN \div NO = ZB \div HB = ZH$.

FV. 16. MNT F, uulgo. ΞNO F, uulgo. 18. εστ cum comp. αι F, uulgo. τό] F; τά uulgo. 20. βαρους F, uulgo, ut lin. 21, 23. 21. τμάματος] sic F, uulgo. 22. ἄρα] om. F; corr. Torellius. εσται per comp. F, uulgo. 23. τᾷ] scripsi; τας F, uulgo. 24. τόμος] scripsi; τομευς F, uulgo.

τρία πέμπτα ἐστὶν ἁ ΒΧ, καὶ λοιπᾶς ἄρα τᾶς ΗΖ τρία πέμπτα ἐστὶν ἁ ΧΡ. ἐπεὶ οὖν ἐστιν, ὡς μὲν ὁ ΑΔΕΓ τόμος ποτὶ τὸ ΔΒΕ τμᾶμα, οὕτως ἁ ΜΤ ποτὶ ΝΤ, ὡς δὲ ἁ ΜΤ ποτὶ τὰν ΤΝ, οὕτως τὰ τρία πέμπτα τᾶς ΗΖ, ἅτις ἐστὶν ἁ ΧΡ, ποτὶ ΡΙ, ἐσσείται ἄρα καὶ ὡς ὁ ΑΔΕΓ τόμος ποτὶ τὸ ΔΒΕ τμᾶμα, οὕτως ἁ ΧΡ ποτὶ ΡΙ. καί ἐστι τοῦ μὲν ὅλου τμάματος κέντρον τοῦ βάρεος τὸ Ρ σαμεῖον, τοῦ δὲ ΔΒΕ κέντρον βάρεος τὸ Χ. φανερὸν οὖν, ὅτι καὶ τοῦ ΑΔΕΓ τόμου κέντρον τοῦ βάρεος τὸ Ι σαμεῖον.

3. *τόμος*] scripsi; *τομευς* F, uulgo. 5. *ΗΖ*] *ΝΖ* FV. *εσται* per comp. F, uulgo. 6. *τόμος*] scripsi; *τομευς* F, uulgo. 7. *ΡΙ. καί* ad *κέντρον* lin. 8 om. F; suppl. ed. Basil., Torellius, nisi quod *μὲν τοῦ* praebent. 8. *βαρους* F, uulgo, ut lin. 9, 10. 10. *ΑΒΕΓ* FV. *τόμου*] scripsi; *τομεως* F, uulgo.

$BX = \frac{3}{5} HB$, erit igitur etiam $XP = \frac{3}{5} HZ$ [Eucl. I κοιν. ἐνν. 3]. iam quoniam est

$$A\Delta E\Gamma : \Delta BE = MT : NT \text{ [p. 232, 11]},$$

et $MT : TN = \frac{3}{5} HZ : PI = XP : PI$, erit igitur etiam $A\Delta E\Gamma : \Delta BE = XP : PI$. et totius segmenti centrum grauitatis est P, segmenti autem ΔBE centrum grauitatis punctum X. adparet igitur, frusti $A\Delta E\Gamma$ centrum grauitatis esse punctum I.[1])

---

1) I, 6—7 (Eutocius); poterat etiam ex I, 8 concludi; u. p. 207 not. 3.

ARENARIUS.

Ψαμμίτης.

1 I. *Οἰόνται τινές, βασιλεῦ Γέλων, τοῦ ψάμμου τὸν
ἀριθμὸν ἄπειρον εἶμεν τῷ πλήθει· λέγω δὲ οὐ μόνον
τοῦ περὶ Συρακούσας τε καὶ τὰν ἄλλαν Σικελίαν
ὑπάρχοντος, ἀλλὰ καὶ τοῦ κατὰ πᾶσαν χώραν τάν τε
οἰκημέναν καὶ τὰν ἀοίκητον. ἐντί τινες δέ, οἳ αὐτὸν
ἄπειρον μὲν εἶμεν οὐχ ὑπολαμβάνοντι, μηδένα μέντοι
ταλικοῦτον κατωνομασμένον ὑπάρχειν, ὅστις ὑπερβάλ-*
2 *λει τὸ πλῆθος αὐτοῦ. οἱ δὲ οὕτως δοξαζόντες δῆλον
ὡς εἰ νοήσαιεν ἐκ τοῦ ψάμμου ταλικοῦτον ὄγκον συγ-
κείμενον τὰ μὲν ἄλλα, ἁλίκος ὁ τᾶς γᾶς ὄγκος, ἀνα-
πεπληρωμένων δὲ ἐν αὐτῷ τῶν τε πελαγέων πάντων
καὶ τῶν κοιλωμάτων τᾶς γᾶς εἰς ἴσον ὕψος τοῖς ὑψη-
λοτάτοις τῶν ὀρέων, πολλαπλασίως μὴ γνωσόνται μη-
δένα κα ῥηθήμεν ἀριθμὸν ὑπερβάλλοντα τὸ πλῆθος αὐ-*
3 *τοῦ. ἐγὼ δὲ πειρασοῦμαι τοι δεικνύειν δι' ἀποδειξίων
γεωμετρικᾶν, αἷς παρακολουθήσεις, ὅτι τῶν ὑφ' ἁμῶν
κατωνομασμένων ἀριθμῶν καὶ ἐνδεδομένων ἐν τοῖς
ποτὶ Ζεύξιππον γεγραμμένοις ὑπερβάλλοντί τινες οὐ*

---

2. *οιοντε* F. 3. *ἀριθμόν*] om. F; corr. manus 3, Wallis. 4. *τοῦ*] *τον* per comp. F; corr. ed. Basil. 6. *ἐντί*] *ἐν* F; corr. Riualtus; om. B; *εἰ* Wallis. *οἳ*] om. F; corr. Riualtus. 7. *μὲν εἶμεν*] *ηενιμεν* F; corr. Torellius. *υπολαμβανωντι* FC, ed. Basil. 9. *οὕτως*] per comp. F. 10. *νοεισαιεν* F. 11. *τὰ μὲν ἄλλα*] Gertzius; *ταμεν* F, uulgo; *εἶμεν* Wallis. *αλικαν* F, supra scripto *ι* uel comp. *ον* manu 1; corr. Wallis. *τᾶς*] *πας* F; corr. Wallis. *γᾶς*] *γαρ* F; corr. Wallis. 12.

Arenarius.

I. Sunt, qui existiment, rex Gelo, numerum arenae 1
infinitum esse magnitudine[1]; dico autem, non solum eius, quae circa Syracusas et reliquam Siciliam est, sed etiam quae in qualibet regione siue culta siue inculta. alii autem infinitum eum esse non arbitrantur, nullum uero tantum nominatum esse, ut multitudinem
eius superet. quod qui putent adparet, si globum ex 2
arena collectum esse fingant, cetera quantus globus terrae sit, expletis autem et maribus omnibus et cauis terrae locis ad altitudinem aequantem montes altissimos, multo minus eos intellecturos esse, nominari
posse numerum multitudinem eius superantem. ego 3
uero tibi demonstrare conabor demonstrationibus geometricis, quas cogitatione adsequi poteris, numerorum a nobis nominatorum et in libro, quem ad Zeuxippum misimus, propositorum quosdam superare non modo

1) Hoc tritum prouerbium erat Graecis; Pindarus Ol. II, 98; Paroemiogr. Gr. p. 11, 167, 250 ed. Gaisford.

δέ] Gertzius; om. F, uulgo. 13. εἴς] addidi; om. F, uulgo. υψηλωτατοις FV. 14. ωρεων FC. μὴ γνωσόνται] scripsi; μηγουσιντε (ιν per comp.) F, uulgo. μηδένα κα ῥηθῆμεν ἀριθμόν] scripsi; μηδεν ακαρη εμμεναι F, uulgo. 16. τοι] του (comp.) F; corr. Hultschius, Gertzius. αποδειξεων F, uulgo. 18. κατονομασμενων F; corr. VAB. ενδεδομεν cum comp. ον FC; ἐκδεδομένων Wallis. 19. υπερβαλλωντι F.

μόνον τὸν ἀριθμὸν τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ γᾷ πεπληρωμένᾳ, καθάπερ εἴπαμες, ἀλλὰ καὶ
4 *τὸν τοῦ μέγεθος ἴσον ἔχοντος τῷ κόσμῳ. κατέχεις δέ, διότι καλεῖται κόσμος ὑπὸ μὲν τῶν πλείστων ἀστρολόγων ἁ σφαῖρα, ἇς ἐστι κέντρον μὲν τὸ τᾶς γᾶς κέντρον, ἁ δὲ ἐκ τοῦ κέντρου ἴσα τᾷ εὐθείᾳ τᾷ μεταξὺ τοῦ κέντρου τοῦ ἁλίου καὶ τοῦ κέντρου τᾶς γᾶς. ταῦτα γάρ ἐντι τὰ γραφόμενα, ὡς παρὰ τῶν ἀστρολόγων διάκουσας. Ἀρίσταρχος δὲ ὁ Σάμιος ὑποθεσίων τινων ἐξέδωκεν γραφάς, ἐν αἷς ἐκ τῶν ὑποκειμένων συμβαίνει τὸν κόσμον πολλαπλάσιον εἶμεν τοῦ νῦν*
5 *εἰρημένου. ὑποτιθέται γὰρ τὰ μὲν ἀπλανέα τῶν ἄστρων καὶ τὸν ἅλιον μένειν ἀκίνητον, τὰν δὲ γᾶν περιφερέσθαι περὶ τὸν ἅλιον κατὰ κύκλου περιφέρειαν, ὅς ἐστιν ἐν μέσῳ τῷ δρόμῳ κείμενος, τὰν δὲ τῶν ἀπλανέων ἄστρων σφαῖραν περὶ τὸ αὐτὸ κέντρον τῷ ἁλίῳ κειμέναν τῷ μεγέθει ταλικαύταν εἶμεν, ὥστε τὸν κύκλον, καθ' ὃν τὰν γᾶν ὑποτιθέται περιφερέσθαι, τοιαύταν ἔχειν ἀναλογίαν ποτὶ τὰν τῶν ἀπλανέων ἀποστασίαν, οἵαν ἔχει τὸ κέντρον τᾶς σφαίρας ποτὶ*
6 *τὰν ἐπιφάνειαν. τοῦτο γ' εὔδηλον ὡς ἀδύνατόν ἐστιν. ἐπεὶ γὰρ τὸ τᾶς σφαίρας κέντρον οὐδὲν ἔχει μέγεθος, οὐδὲ λόγον ἔχειν οὐδένα ποτὶ τὰν ἐπιφάνειαν τᾶς σφαίρας ὑπολαπτέον αὐτό. ἐκδεκτέον δὲ τὸν Ἀρίσταρχον διανοείσθαι τόδε· ἐπειδὴ τὰν γᾶν ὑπολαμβάνομες ὥσπερ εἶμεν τὸ κέντρον τοῦ κόσμου, ὃν ἔχει λόγον ἁ γᾶ ποτὶ τὸν ὑφ' ἁμῶν εἰρημένον κόσμον,*

---

2. *ειπαμεν* F, uulgo. 3. *μεγεθους* F; corr. B. 6. *ἁ*] *η* F; corr. V. *ἐκ*] om. F; corr. Wallis. *ἴσα*] om. F, lacuna relicta; corr. Wallis. *αι ευθειαι* F; corr. Riualtus. 8. *ἐντι τὰ γραφόμενα, ὡς*] scripsi; *εν ταις γραφομεναις* F,

numerum arenae magnitudinem habentis aequalem terrae ita expletae, uti diximus, sed etiam numerum arenae
magnitudinem habentis mundo aequalem. nouisti autem, 4
mundum a plerisque astrologis uocari sphaeram, cuius centrum sit centrum terrae, radius autem aequalis lineae inter centra solis et terrae positae. haec enim uulgo scribuntur, ut ex astrologis cognouisti. Aristarchus uero Samius libros quosdam edidit, qui hypotheses inscribuntur, in quibus ex iis, quae supponuntur, adparet,
mundum multiplicem esse, quam supra diximus. sup- 5
ponit enim, stellas fixas solemque immobilia manere, terram uero circum solem in medio cursu positum secundum circuli ambitum circumuolui, sphaeram autem stellarum fixarum circum idem centrum positam, circum quod sol positus sit, tantam esse, ut circulus, secundum quem terram circumuolui supponit, eam rationem habeat ad distantiam stellarum fixarum, quam
habeat centrum sphaerae ad superficiem. hoc certe 6
fieri non posse manifestum est. nam quoniam centrum sphaerae nullam magnitudinem habet, ne rationem quidem ullam ad superficiem sphaerae habere putandum est. sed credendum est, Aristarchum hoc sentire: quoniam supponimus, terram quasi centrum mundi esse, sphaeram, in qua est circulus, secundum

---

uulgo. 9. *διάκουσας*] scripsi; *διακρουσας* F, uulgo. *δέ*] addidi; om. F, uulgo. 10. *γραφάς*] scripsi; *γραψας* F, uulgo. 13. *μεν* cum comp. *ην* uel *ιν* F. *ακιτον* F. 16. *απλανων* F, uulgo, ut lin. 12: *απλανεα*. 17. *ὥστε*] *εστω* F; corr. ed. Basil.; *ὡς* Gertzius. 18. *ὅν*] *αν* F; corr. ed. Basil. 20. *της* F; corr. Wallis. 21. *γ'*] *δ'* ed. Basil., Wallis, Torellius. 22. *τό*] *τα* F; corr. B. 23. *εχ* cum comp. *ην* uel *ιν* F. 24. *αυτ* cum comp. *ον* F; corr. B. 25. *ὑπολαμβανομεν* F, uulgo. 26. *ὥσπερ εἶμεν*] scripsi; *ὡς περι μεν* F, uulgo.

τοῦτον ἔχειν τὸν λόγον τὰν σφαῖραν, ἐν ᾇ ἐστιν ὁ κύκλος, καθ' ὃν τὰν γᾶν ὑποτιθέται περιφερέσθαι,
7 ποτὶ τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν. τὰς γὰρ ἀποδειξίας τῶν φαινομένων οὕτως ὑποκειμένῳ ἐναρμόζει, καὶ μάλιστα φαινέται τὸ μέγεθος τᾶς σφαίρας, ἐν ᾇ ποιείται τὰν γᾶν κινουμέναν, ἴσον ὑποτιθέσθαι τῷ ὑφ' ἁμῶν εἰρημένῳ κόσμῳ. φαμὲς δή, καὶ εἰ γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκαν Ἀρίσταρχος ὑποτιθέται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶμεν, καὶ οὕτως τινὰς δειχθήσειν τῶν ἐν Ἀρχαῖς τὰν κατονομαξίαν ἐχόντων ὑπερβαλλόντας τῷ πλήθει τὸν ἀριθμὸν τὸν τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ εἰρημένᾳ σφαίρᾳ, ὑποκειμέ-
8 νων τῶνδε· πρῶτον μὲν τὰν περίμετρον τᾶς γᾶς εἶμεν ὡς τ' μυριάδων σταδίων καὶ μὴ μείζονα, καίπερ τινῶν πεπειραμένων ἀποδεικνύειν, καθὼς καὶ τὺ παρακολουθεῖς, ἐοῦσαν αὐτὰν ὡς λ' μυριάδων σταδίων. ἐγὼ δ' ὑπερβαλλόμενος καὶ θεὶς τὸ μέγεθος τᾶς γᾶς ὡς δεκαπλάσιον τοῦ ὑπὸ τῶν προτέρων δεδοξασμένου τὰν περίμετρον αὐτᾶς ὑποτιθέμαι εἶμεν ὡς τ' μυριάδων σταδίων καὶ μὴ μείζονα. μετὰ δὲ τοῦτο τὰν διά-

---

1. ᾇ] *η* F; corr. Wallis. 2. ὅν] *ου* F; corr. ed. Basil. 3. *απλαν* cum comp. *ων* F; corr. Wallis. γάρ] cum C et Torellio; om. F, uulgo. 4. ὑποκειμένῳ] Gertzius; *υποκειμεν* cum comp. *ον* F, uulgo; ὑποκειμένων BD, Wallis, Torellius; tum scribendum erat ὡς τούτων pro οὕτως. 5. *μεγαθος* F. 6. *υποτιθεται* F; corr. Riualtus. 7. *φαμεν* F, uulgo. 10. *φαιραν* F. δειχθήσειν] Ahrens; *δειχθεισ* cum comp. *ην* uel *ιν* F, uulgo; δειχθήσεσθαι Torellius. 11. τὰν κατονομαξίαν] scripsi; *των κατονομαξιων* F, uulgo; τῶν κατονομασίαν Wallis, Torellius. 12. ἀριθμόν] comp. F. 13. *μεγεθους* F; corr. B. *εχοντο* FC. *τη ειρηνενη* F; corr. Wallis. 15. *μοιριαδων* F; corr. BC, ut lin. 17. μή] om. F; corr. Wallis. μείζονα] scripsi; *μειζων* F, uulgo; *μειζω* V, alii, ut lin. 21. *και περι* F; corr.

quem terram circumuolui supponit, ad sphaeram stellarum fixarum eam habere rationem, quam habeat terra ad mundum, qui uulgo uocatur.[1]) nam demon- 7
strationes phaenomenorum eiusmodi suppositioni adcommodat, et maxime magnitudinem sphaerae, in qua terram moueri fingit, aequalem mundo, qui uulgo uocatur, supponere uidetur. dicimus igitur, etiamsi ex arena tanta sphaera colligatur, quantam Aristarchus sphaeram stellarum fixarum esse supponat, sic quoque demonstrari posse, quosdam eorum numerorum, qui in Principiis nominati sint, magnitudine superare numerum arenae magnitudinem habentis tali sphaerae aequalem, his suppositis:

1. primum perimetrum terrae 3000000 stadia longam 8
esse nec maiorem; quamquam quidam[2]), ut tu quoque nouisti, demonstrare conati sunt, eam 300000 stadia longam esse. ego uero [hunc numerum] excedens et magnitudinem terrae magnitudini a prioribus propositae decies fere sumptae aequalem esse supponens perimetrum eius 3000000 fere stadia longam nec maiorem esse suppono.

---

1) Potius sententia Aristarchi haec fuisse uidetur, distantiam stellarum tantam esse, ut circulus, in quo terra moueatur, cum ea comparatus puncti locum obtineat; cfr. Arist. de distant. 2; Ptolemaeus *συντ.* II, 5 p. 74. Cfr. Quaest. Arch. p. 202; Nizze p. 210—11.

2) Significatur Eratosthenes; Bernhardy Eratosth. p. 57; Quaest. Archim. p. 202.

Wallis. *τινῶν*] scripsi; *των* F, uulgo. 16. *τύ*] Riualtus; *τοι* F, uulgo. 18. *καὶ ϑείς*] scripsi; *καϑεις* F, uulgo. 19. *δεκαπλασι* cum comp. *ων* F; corr. Wallis. *δεδοξασμενων* F; corr. ed. Basil. 20. *μυριάδων*] $\overset{υ}{M}$ F; corr. Wallis.

μετρον τᾶς γᾶς μείζονα εἶμεν τᾶς διαμέτρου τᾶς σελήνας, καὶ τὰν διάμετρον τοῦ ἁλίου μείζονα εἶμεν τᾶς διαμέτρου τᾶς γᾶς, ὁμοίως τὰ αὐτὰ λαμβάνων τοῖς
9 *πλείστοις τῶν προτέρων ἀστρολόγων. μετὰ δὲ ταῦτα τὰν διάμετρον τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας ὡς τριακονταπλασίαν εἶμεν καὶ μὴ μείζονα, καίπερ τῶν προτέρων ἀστρολόγων Εὐδόξου μὲν ὡς ἐννεαπλασίονα ἀποφαινομένου, Φειδία δὲ τοῦ Ἀκούπατρος ὡς [δή] δωδεκαπλασίαν, Ἀριστάρχου δὲ πεπειραμένου δεικνύειν, ὅτι ἐστὶν ἁ διάμετρος τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας μείζων μὲν ἢ ὀκτωκαιδεκαπλασίων, ἐλάττων δὲ ἢ εἰκοσαπλασίων· ἐγὼ δὲ ὑπερβαλλόμενος καὶ τοῦτον, ὅπως τὸ προκείμενον ἀναμφιλόγως ᾖ δεδειγμένον, ὑποτιθέμαι τὰν διάμετρον τοῦ ἁλίου τᾶς διαμέτρου τᾶς σελήνας ὡς τριακονταπλασίαν εἶμεν καὶ*
10 *μὴ μείζονα. ποτὶ δὲ τούτοις τὰν διάμετρον τοῦ ἁλίου μείζονα εἶμεν τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ. τοῦτο δὲ ὑποτιθέμαι Ἀριστάρχου μὲν εὑρηκότος τοῦ κύκλου τῶν ζῳδίων τὸν ἅλιον φαινόμενον ὡς τὸ εἰκοστὸν καὶ ἑπτακοσιοστόν, αὐτὸς δὲ ἐπισκεψάμενος τόνδε τὸν τρόπον ἐπειράθην ὀργανικῶς λαβεῖν τὰν γωνίαν, εἰς ἃν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ*
11 *τᾷ ὄψει. τὸ μὲν οὖν ἀκριβὲς λαβεῖν οὐκ εὐχερές ἐστι διὰ τὸ μήτε τὰν ὄψιν μήτε τὰς χεῖρας μήτε τὰ ὄργανα,*

---

1. *εκειμεν* F; corr. B. 2. *σελάνας* B. 6. *Ευδοξος, Φειδιας* mg. F. *και περι* F, corr. Wallis. 7. *ἐννεαπλασιον* F; corr. Wallis. 8. *Ἀκούπατρος*] „latet nomen patriam Phidiae significans“ Maduigius. 9. *δή*] delet Wallis. 10. *τοῦ*] addidi; om. F, uulgo. 13. *προκείμενον*] Gertzius; *υποκειμενον* F, uulgo. *ἀναμφιλόγως*] scripsi; *αναμφιλογον* F, uulgo. 14. *τοῦ ἁλίου τᾶς διαμέτρου*] om. F; corr. Wallis. 15. *σε-*

2. deinde diametrum terrae maiorem esse diametro lunae, et diametrum solis maiorem diametro terrae, rursus eadem sumens, quae plerique astrologorum priorum.

3. deinde diametrum solis aequalem esse diametro 9
lunae tricies sumptae nec maiorem; quamquam ex astrologis prioribus Eudoxus eam diametro lunae nouies sumptae aequalem esse declarat, Phidias autem duodecies sumptae, Aristarchus autem demonstrare conatus est, diametrum solis maiorem esse diametro lunae duodeuicies sumpta, minorem uero eadem uicies sumpta [Aristarchus de distant. prop. 9]. ego uero eum quoque excedens, ut propositum pro certo sit demonstratum, suppono, diametrum solis aequalem esse lunae diametro tricies fere sumptae nec maiorem.

4. praeterea autem diametrum solis maiorem esse 10
latere figurae mille laterum circulo maximo mundi inscriptae. hoc uero suppono, cum Aristarchus inuenerit, solem partem septingentesimam fere circuli zodiaci esse adparere, ipse autem hoc modo scrutatus per instrumenta eum angulum deprehendere conatus sum, cui sol aptatur uerticem in oculo habenti.
uerum quidem ipsum deprehendere difficile est, quia 11
neque uisus neque manus neque instrumenta, quibus

λάνας B. 16. *μειζον* F; corr. B. 19. *εὑρηκότος*] scripsi; *ειρηκοτος* F, uulgo. 20. *τόν*] *των* per comp. F; corr. B. 23. *εἰς ἂν*] scripsi cum Wallisio (*ἐς ἂν*); *ὡς ἀν* F, uulgo. *εχουσα* F; corr. BC. 24. *οὖν*] scripsi; *ομοι* cum comp. *ον* F. *ἀκριβές*] scripsi; *ακριβει* F, uulgo. *λαβ* cum comp. *ην* uel *ιν* F, ut p. 250 lin. 1, 3, 5, 7.

δι' ὧν δεῖ λαβεῖν, ἀξιόπιστα εἶμεν τὸ ἀκριβὲς ἀπο-
11 φαίνεσθαι. περὶ δὲ τούτων ἐπὶ τοῦ παρόντος οὐκ εὔκαιρον μακύνειν ἄλλως τε καὶ πλεονάκις τοιούτων ἐμπεφανισμένων. ἀποχρὴ δέ μοι ἐς τὰν ἀπόδειξιν τοῦ προκειμένου γωνίαν λαβεῖν, ἅτις ἐστὶν οὐ μείζων τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, καὶ πάλιν ἄλλαν γωνίαν λαβεῖν, ἅτις ἐστὶν οὐκ ἐλάττων τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος
12 ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. τεθέντος οὖν μακροῦ κανόνος ἐπὶ πόδα ὀρθὸν ἐν τόπῳ κείμενον, ὅθεν ἤμελλεν ἀνατέλλειν ὁ ἅλιος ὁράσθαι, καὶ κυλίνδρου μικροῦ τορνευθέντος καὶ τεθέντος ἐπὶ τὸν κανόνα ὀρθοῦ εὐθέως μετὰ τὰν ἀνατολὰν τοῦ ἁλίου, ἔπειτ' ἐόντος αὐτοῦ ποτὶ τῷ ὁρίζοντι καὶ δυναμένου [τοῦ] ἀντιβλεπέσθαι ἐπεστράφη ὁ κανὼν εἰς τὸν ἅλιον, καὶ ἁ ὄψις κατεστάθη ἐπὶ τὸ ἄκρον τοῦ κανόνος. ὁ δὲ κύλινδρος ἐν μέσῳ κείμενος τοῦ τε ἁλίου καὶ τᾶς ὄψιος ἐπεσκότει τῷ ἁλίῳ. ἀποχωριζόμενος οὖν [τοῦ κυλίνδρου] ἀπὸ τᾶς ὄψιος, ἐν ᾧ ἄρξατο παραφαίνεσθαι τοῦ ἁλίου μικρὸν ἐφ' ἑκάτερα τοῦ
13 κυλίνδρου, κατεστάθη ὁ κύλινδρος. εἰ μὲν οὖν συνέβαινεν τὰν ὄψιν ἀφ' ἑνὸς σαμείου βλέπειν, εὐθειᾶν ἀχθεισᾶν ἀπ' ἄκρου τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἐπιψαυουσᾶν τοῦ κυλίνδρου ἁ περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν ἐλάσσων κα ἧς τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχου-

1. δεῖ] scripsi; δια F, uulgo; om. ed. Basil., Riualtus, Wallis, Torellius. ἀξιόπιστα] scripsi, monente Hultschio; αξιοπιστας F, uulgo. 5. ἐστὶν οὐ] scripsi; εστι F, uulgo; ἐστι μή Wallis, Torellius. 6. εἰς] αις F, uulgo; ἐς B, Riualtus, Wallis, Torellius. 7. τᾷ] om. F; corr. Wallis. 8. εἰς] ἁς F; corr. B (ἐς). 9. εναρμοζη F; corr. B, ut lin. 6.

utendum est, satis certa sunt ad uerum inuenien-
dum. de his uero rebus hoc tempore nihil adtinet 11
pluribus disputare, praesertim cum talia saepius illu-
strata sint. sed mihi ad demonstrationem propositi
satis est angulum deprehendere non maiorem angulo,
cui sol aptatur uerticem in oculo habenti, et rursus
alium angulum deprehendere non minorem angulo,
cui sol aptatur uerticem in oculo habenti. itaque 12
longa regula in pede perpendiculari posita, qui in eius-
modi loco collocatus erat, unde sol oriens conspici pos-
set, et cylindro paruo tornato et in regula posito per-
pendiculari statim post ortum solis, cum sol prope hori-
zontem esset, et oculi ex aduerso eum intueri possent,
regula aduersus solem conuersa est, et oculus in extrema
regula positus est; cylindrus autem in medio solis et oculi
positus soli officiebat. cylindrus igitur, qui ab oculo sen-
sim remouebatur, ubi paululum solis in utraque parte
cylindri adparere coepit, inhibitus est. iam si oculus 13
re uera ab uno puncto prospectaret, lineis ab extrema
regula, quo loco oculus positus erat, cylindrum con-
tingentibus ductis angulus lineis ita ductis comprehensus
minor esset angulo, cui sol aptatur uerticem in oculo

τᾶ] *τηα* F; corr. C. 10. *πόδα*] Gertzius; *πεδον* F, uulgo. 11. *ανατελλ* cum comp. *ων* F. 14. *ιοντος* F; corr. Wallis. *δυναμεν* cum comp. *ον* F; corr. B. 15. *τοῦ*] om. Wallis; *αὐτοῦ* B. 16. *ἁ ὄψις*] *αψις* F; corr. Riualtus. 18. *αποχωριζομεν* cum comp. *ος* F; *ἀποχωριζομένου* B, editores. ego malui *τοῦ κυλίνδρου* delere. 19. *οὖν*] addidi; om. F, uulgo. *ἅ ἐνάρξατο* Gertzius; *ἐν ᾧ*? 20. *μικρ* cum comp. *ου* F; corr. Wallis. 21. *οὖν*] scripsi; *ομοι* cum comp. *ως* F, uulgo. 24. *επιψανουσα* F; corr. Riualtus. 25. *ἧς*] scripsi; *εισ* F, uulgo; *εἴη* Wallis. 26. *εἷς*] *αις* F; corr. B (*ἕς*). *εναρμοζη* F; corr. BC. *τάν*] *τα* F; corr. BC. *εχουσας* F; corr. ed. Basil.

σαν ποτὶ τᾷ ὄψει, διὰ τὸ περιβλεπέσθαι τι τοῦ ἁλίου
ἐφ' ἑκάτερα τοῦ κυλίνδρου. ἐπεὶ δ' αἱ ὄψιες οὐκ ἀφ'
ἑνὸς σαμείου βλέποντι, ἀλλὰ ἀπό τινος μεγέθεος,
ἐλάφθη τι μέγεθος στρογγύλον οὐκ ἔλαττον ὄψιος,
καὶ τεθέντος τοῦ μεγέθεος ἐπὶ τὸ ἄκρον τοῦ κανόνος,
ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἀχθεισᾶν εὐθειᾶν ἐπι-
ψαυουσᾶν τοῦ τε μεγέθεος καὶ τοῦ κυλίνδρου ἁ οὖν
περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν ἐλάττων ἦς τᾶς
γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχου-
14 σαν ποτὶ τᾷ ὄψει. τὸ δὲ μέγεθος τὸ οὐκ ἔλαττον τᾶς
ὄψιος τόνδε τὸν τρόπον εὑρισκέται· δύο κυλίνδρια
λαμβανέται λεπτὰ ἰσοπαχέα ἀλλάλοις, τὸ μὲν λευκόν,
τὸ δὲ οὔ, καὶ προτιθένται πρὸ τᾶς ὄψιος, τὸ μὲν λευ-
κὸν ἀφεστακὸς ἀπ' αὐτᾶς, τὸ δὲ οὐ λευκὸν ὡς ἔστιν
ἐγγυτάτω τᾶς ὄψιος, ὥστε καὶ θιγγάνειν τοῦ προσ-
ώπου. εἰ μὲν οὖν κα τὰ λαφθέντα κυλίνδρια λεπτό-
τερα ἔωντι τᾶς ὄψιος, περιλαμβανέται ὑπὸ τᾶς ὄψιος
τὸ ἐγγὺς κυλίνδριον, καὶ ὁρῆται ὑπὸ αὐτᾶς τὸ λευκόν,
εἰ μέν κα παρὰ πολὺ λεπτότερα ἔωντι, πᾶν, εἰ δέ κα
μὴ παρὰ πολύ, μέρεά τινα τοῦ λευκοῦ ὁρῶνται ἐφ'
15 ἑκάτερα τοῦ ἐγγὺς τᾶς ὄψιος. λαφθέντων δὲ τῶνδε
τῶν κυλινδρίων ἐπιταδείων πως τῷ πάχει ἐπισκοτεῖ
τὸ ἕτερον αὐτῶν τῷ ἑτέρῳ καὶ οὐ πλείονι τόπῳ. τὸ
δὴ ταλικοῦτον μέγεθος, ἁλίκον ἐστὶ τὸ πάχος τῶν
κυλινδρίων τῶν τοῦτο ποιούντων μάλιστά πώς ἐστιν
οὐκ ἔλαττον τᾶς ὄψιος. ἁ δὲ γωνία ἁ οὐκ ἐλάττων
τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν

---

1. *παραβλεπέσθαι* Gertzius. 2. *αφανη σημειον* F; corr. Wallis. 4. *ὄψιος*] *οψις* F; corr. Wallis; *ἢ ὄψις* A, Riualtus; *ἢ ἁ ὄψις* Gertzius. 5. *τούτου τοῦ* Gertzius. 6. *αχθειεια ευθεια* F; corr. Wallis. *επιψανουσα* F; corr. Wallis. 9 *εἰς*] *αις* F; corr. B (*ἐς*). *εναρμοζη* F; corr. BD. *εχουσας* F; corr. Nizzius. 12. *τὸ*

habenti, quia ex utraque parte cylindri pars solis conspiciebatur. sed quoniam oculi ab uno puncto non prospectant, sed a magnitudine quadam, magnitudinem quandam rotundam oculo non minorem sumpsi, et magnitudine in extrema regula posita, quo loco oculus positus erat, lineis et magnitudinem et cylindrum contingentibus ductis, angulus lineis ita ductis comprehensus minor erat angulo, cui sol aptatur uerticem in oculo habenti.
14 magnitudo autem oculo non minor hoc modo inuenitur. sumuntur duo cylindri tenues eadem crassitudine, alter albus, alter uero non, et ante oculum ponuntur, ita ut albus ab eo aliquantum absit, qui autem albus non est, oculo quam proximus sit, ita ut etiam contingat faciem. si igitur cylindri, quos sumpsimus, oculo tenuiores sunt, cylindrus propior ab oculo comprehenditur, et albus ab eo conspicitur, si multo tenuiores sunt, totus, si minus, partes quaedam albi ex utraque parte cylindri oculo propioris conspiciuntur.
15 his autem cylindris crassitudine aptis sumptis alter alteri officit, nec maiori spatio. eiusmodi igitur magnitudo, qualis est crassitudo cylindrorum sic se habentium, haud dubie oculo minor non est. angulus uero non minor angulo, cui sol aptatur

---

μέν] τα μεν F; corr. BC. 13. πρό] προς per comp. F; corr. B. 14. ὡς] ος F; corr. C; ὅσον Nizzius. 15. θιγγαν cum comp. ην uel ιν F. 16. κα] addidi; om. F, uulgo. λεπτοτατα F; corr. Wallis. 19. μέν] κο F; corr. Wallis. λεπτοτεραν F; corr. Wallis. εοντι F; corr. Wallis. 21. τοῦ ἐγγύς] τας (comp.) εγγυς F; corr. B. 22. κυλινδρων F; corr. Wallis, ut lin. 25. επειταδιῶν F; corr. Wallis. ἐπισκοτεῖ] F; retinui cum Gertzio mutata interpunctione; ἐπισκοτεῖν C, Wallis, Torellius. 26. ἁ οὐκ] scripsi; ἁ om. F, uulgo. 27. εἰς] αις F; corr. B (ἐς).

ἔχουσαν ποτὶ τᾷ ὄψει, οὕτως ἐλάφθη. ἀποσταθέντος ἐπὶ τοῦ κανονίου τοῦ κυλίνδρου ἀπὸ τᾶς ὄψιος οὕτως ὡς ἐπισκοτεῖν τὸν κύλινδρον ὅλῳ τῷ ἁλίῳ καὶ ἀχθεισᾶν εὐθειᾶν ἀπ᾽ ἄκρου τοῦ κανόνος, ἐν ᾧ τόπῳ ἁ ὄψις κατεστάθη, ἐπιψαυουσᾶν τοῦ κυλίνδρου, ἁ περιεχομένα γωνία ὑπὸ τᾶν ἀχθεισᾶν εὐθειᾶν οὐκ ἐλάττων γινέται τᾶς γωνίας, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει

16 τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. ταῖς δὴ γωνίαις ταῖς οὕτως λαφθείσαις καταμετρηθείσας ὀρθᾶς γωνίας ἐγένετο ἁ ἐν τῷ στίγμῳ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς ρξδ′ ἐλάττων ἢ ἓν μέρος τούτων, ἁ δὲ ἐλάττων διαιρεθείσας τᾶς ὀρθᾶς εἰς σ′ μείζων ἢ ἓν μέρος τούτων. δῆλον οὖν, ὅτι καὶ ἁ γωνία, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει, ἐλάττων μέν ἐστιν ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς ρξδ′ τούτων ἓν μέρος, μείζων δὲ ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς σ′ τούτων

17 ἓν μέρος. πεπιστευμένων δὲ τούτων δειχθησέται καὶ ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ. νοείσθω γὰρ ἐπίπεδον ἐκβεβλημένον διά τε τοῦ κέντρου τοῦ ἁλίου καὶ τοῦ κέντρου τᾶς γᾶς καὶ διὰ τᾶς ὄψιος, μικρὸν ὑπὲρ τὸν ὁρίζοντα ἐόντος τοῦ ἁλίου. τεμνέτω δὲ τὸ ἐκβληθὲν ἐπίπεδον τὸν μὲν κόσμον κατὰ τὸν $AB\Gamma$ κύκλον, τὰν δὲ γᾶν κατὰ τὸν ΔEZ, τὸν δὲ ἅλιον κατὰ τὸν ΣH

2. ἐπί] απο F; corr. D. 3. ὡς] ὥστ᾽ Wallis, Torellius. επικρωτειν F; corr. ed. Basil. 5. επιψαυουσ cum comp. ων F; corr. Wallis. 7. εἰς] αις F; corr. B (ἐς). εναρμοζη F; corr. B. 10. τῷ] addidi; om. F, uulgo; ἁ μὲν μείζων Wallis, Nizzius. 11. διαιρεθεισα των ορθων (ων per comp. bis) F; corr. ed. Basil. 13. εἰς] ας F; corr. B (ἐς). ηλιος F; corr. C. εναρμοζη F; corr. AB. 15. τᾶς ὀρθᾶς] om. F; corr. AB. εἰς] ες F; corr. ABC. ἓν μέρος] om. F; corr.

uerticem in oculo habenti, hoc modo sumptus est. cylindro in regula ita ab oculo remoto, ut soli toti officiat, et lineis ab extrema regula, quo loco oculus positus erat, cylindrum contingentibus ductis, angulus lineis ita ductis comprehensus non minor est angulo,
cui sol aptatur uerticem in oculo habenti. itaque 16
cum angulis ita deprehensis angulum rectum metirer, angulus ad punctum positus[1]) minor erat una parte, recto angulo in partes 164 diuiso, minor uero angulus maior una parte, recto angulo in partes 200 diuiso. adparet igitur, etiam angulum, cui sol aptatur uerticem in oculo habenti, minorem esse una parte, angulo recto in partes 164 diuiso, maiorem uero una
parte, recto angulo in partes 200 diuiso. his autem 17
confirmatis demonstrabimus, diametrum solis maiorem esse latere figurae mille laterum circulo maximo mundi inscriptae. fingatur enim planum per centra solis et terrae et per oculum positum, cum sol paullo supra horizontem est. et planum ita positum mundum in circulo $AB\Gamma$ secet, terram autem in circulo ΔEZ, solem autem in circulo ΣH. et terrae centrum sit Θ,

1) H. e. angulus, cuius uertex est punctum illud in extrema regula positum (lin. 4), cum uertex anguli minoris (lin. 11) extra regulum cadat propter cylindros illos, in eo inueniendo usurpatos. Quaest. Arch. p. 204.

---

ed. Basil. Deinde in F VCD repetuntur uerba: *ἁ δὲ ἐλάττων* lin. 11 — *ἓν μέρος* lin. 15, ita ut plerique errores corrigantur (hab. *τᾶς ὀρθᾶς* lin. 15; *ἓν μέρος* lin. 15; *ἅλιος* lin. 13; pro *εἶς ἂν* lin. 13: *α ισαν*; pro *ες* lin. 15: *εις*). 17. *δειχθησέται*] scripsi; *δι᾽ ων* F, uulgo; *δείκνυται* Wallis, Torellius. 18. *χιλιαγωνιον* F; corr. B. 20. *τῶν*] *τασ* F; corr. Wallis. 21. *τοῦ ἁλίου καὶ τοῦ κέντρου*] addidi; om. F, uulgo; post *γᾶς* lin. 22 in B additur: *καὶ τοῦ ἁλίου*, et sic Wallis et Torellius.. 23. *ἐκβληθέν*] scripsi cum Wallisio; *εκβεβληθεν* F, uulgo.

κύκλον. κέντρον δὲ ἔστω τᾶς μὲν γᾶς τὸ Θ, τοῦ δὲ ἁλίου τὸ Κ, ὄψις δὲ ἔστω τὸ Δ. καὶ ἄχθωσαν εὐθεῖαι ἐπιψαυούσαι τοῦ ΣΗ κύκλου, ἀπὸ μὲν τοῦ Δ αἱ ΔΛ, ΔΞ· ἐπιψαυόντων δὲ κατὰ τὸ Ν καὶ τὸ Τ· ἀπὸ δὲ τοῦ Θ αἱ ΘΜ, ΘΟ· ἐπιψαυόντων δὲ κατὰ τὸ Χ καὶ τὸ Ρ. τὸν δὲ ΑΒΓ κύκλον τεμνόντων αἱ ΘΜ, ΘΟ
18 κατὰ τὸ Α καὶ τὸ Β. ἔστι δὴ μείζων ἁ ΘΚ τᾶς ΔΚ, ἐπεὶ ὑποκεῖται ὁ ἅλιος ὑπὲρ τὸν ὁρίζοντα εἶμεν· ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων ἐστὶ



τᾶς γωνίας τᾶς περιεχομένας ὑπὸ τᾶν ΘΜ, ΘΟ. ἁ δὲ περιεχομένα γωνία ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων μέν ἐστιν ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, ἐλάττων δὲ ἢ τᾶς ὀρθᾶς

3. Δ] om. F; corr. AB. 4. επιψαυωντων F, ut lin. 5.

solis autem K, oculus autem sit Δ. et ducantur lineae circulum ΣH contingentes, a puncto Δ lineae ΔA, $\Delta \Xi$, quae in punctis N, T contingant, a Θ autem uncto ΘM, ΘO, quae in punctis X, P contingant. lineae ΘM, ΘO circulum $AB\Gamma$ in punctis A, B cent. iam est $\Theta K > \Delta K$, quia suppositum est, so- 18
m super horizontem esse.[1]) quare angulus lineis A, $\Delta \Xi$ comprehensus maior est angulo lineis ΘM, O comprehensus.[2]) sed angulus comprehensus lineis A, $\Delta \Xi$ maior est quam pars ducentesima anguli eti, minor autem una parte angulo recto in partes

1) Itaque $\angle \Theta \Delta K$ obtusus est (si enim sol in horizonte set, rectus esset, quia horizon inuenitur linea in puncto Δ ad Θ perpendiculari erecta).

2) H. e. $\angle A \Delta \Xi > M \Theta O$ ex Euclid. opt. 24.

5. X et P permutat Torellius. 6. ΘM] ΘH F; corr. ed. Basil. 7. ΘK] OK F; corr. ed. Basil. 9. τᾶν] των per comp. F; corr. Wallis. 10. των per comp. F; corr. BC. ΘN F; corr. ed. Basil. 11. των per comp. F; corr. Wallis. Figuram om. F lacuna relicta.

διαιρεθείσας εἰς ρξδ' τούτων ἓν μέρος. ἴσα γάρ ἐστι τᾷ γωνίᾳ, εἰς ἂν ὁ ἅλιος ἐναρμόζει τὰν κορυφὰν ἔχουσαν ποτὶ τᾷ ὄψει. ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττων ἐστὶν ἢ τᾶς ὀρθᾶς διαιρεθείσας εἰς ρξδ' τούτων ἓν μέρος, ἁ δὲ ΑΒ εὐθεῖα ἐλάττων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διαιρεθείσας
19 *τᾶς τοῦ ΑΒΓ κύκλου περιφερείας ἐς χνς'. ἁ δὲ τοῦ εἰρημένου πολυγωνίου περίμετρος ποτὶ τὰν ἐκ τοῦ κέντρου τοῦ ΑΒΓ κύκλου ἐλάττονα λόγον ἔχει, ἢ τὰ μδ' ποτὶ τὰ ζ', διὰ τὸ παντὸς πολυγωνίου ἐγγεγραμμένου ἐν κύκλῳ τὰν περίμετρον ποτὶ τὰν ἐκ τοῦ κέντρου ἐλάττονα λόγον ἔχειν, ἢ τὰ μδ' ποτὶ τὰ ζ'. ἐπιστάσαι γὰρ δεδειγμένον ὑφ' ἁμῶν, ὅτι παντὸς κύκλου ἁ περιφέρεια μείζων ἐστὶν ἢ τριπλασίων τᾶς διαμέτρου ἐλάσσονι ἢ ἑβδόμῳ μέρει. ταύτας δὲ ἐλάττων ἐστὶν ἁ περίμετρος τοῦ ἐγγραφέντος πολυγωνίου. ἐλάττονα οὖν λόγον ἔχει ἁ ΒΑ ποτὶ τὰν ΘΚ, ἢ τὰ ια' ποτὶ τὰ ͵αρμη'. ὥστε ἐλάττων ἐστὶν ἁ ΒΑ τᾶς ΘΚ ἢ ἑκα-*
20 *τοστὸν μέρος. τᾷ δὲ ΒΑ ἴσα ἐστὶν ἁ διάμετρος τοῦ ΣΗ κύκλου, διότι καὶ ἁ ἡμίσεια αὐτᾶς ἁ ΦΑ ἴσα ἐστὶ τᾷ ΚΡ. ἰσᾶν γὰρ ἐουσᾶν τᾶν ΘΚ, ΘΑ ἀπὸ τῶν περάτων καθέτοι ἐπεζευγμέναι ἐντὶ ὑπὸ τὰν αὐτὰν γωνίαν. δῆλον οὖν, ὅτι ἁ διάμετρος τοῦ ΣΗ κύκλου ἐλάττων ἐστὶν ἢ ἑκατοστὸν μέρος τᾶς ΘΚ. καὶ ἁ ΕΘΤ διάμετρος ἐλάττων ἐστὶ τᾶς διαμέτρου τοῦ ΣΗ κύκλου, ἐπεὶ ἐλάττων ἐστὶν ὁ ΔΕΖ κύκλος τοῦ ΣΗ κύκλου. ἐλαττόνες ἄρα ἐντὶ ἀμφοτέραι αἱ ΘΤ, ΚΣ*

---

1. *ἴσα γάρ*] *ισον* (comp.) *γωνιαι* F; corr. Wallis. 2. *εἰς*] *αις* F; corr. B (*ἐς*). 7. *ΑΒΝ* F; corr. AC. 9. *τοῦ ΑΒΓ κύκλου* ad *ἐκ τοῦ κέντρου* lin. 11 repetuntur in F; *τοῦ ΑΒΓ κύκλου* expunxit manus 1, ut uidetur. 12. *εχει* F; corr. B. 15. *ταύτας*] scripsi; *τας* F, uulgo; om. Riualtus, Torellius; *ὥστε*

164 diuiso. nam aequalis est angulo, cui sol aptatur uerticem in oculo habenti. quare angulus lineis ΘM, ΘO comprehensus minor est una parte recto angulo in partes 164 diuiso, et linea AB minor est linea sub unam partem subtendenti, ambitu circuli $AB\Gamma$ in partes 656 diuiso. sed perimetrus polygoni illius ad ra- 19
dium circuli $AB\Gamma$ minorem rationem habet, quam $44:7$, quia perimetrus cuiusuis polygoni circulo inscripti ad radium minorem rationem habet, quam $44:7$. nouisti enim a nobis demonstratum esse, cuiusuis circuli ambitum maiorem esse quam triplo maiorem diametro spatio minore, quam est septima pars [diametri] [κύκλ. μέτρ. 3]. eo autem minor est perimetrus polygoni inscripti [περὶ σφ. καὶ κυλ. I p. 10, 23]. quare
$BA:\Theta K < 11:1148$. itaque $BA < \frac{1}{100}\Theta K$. sed lineae 20
BA aequalis est diametrus circuli ΣH, quia

$$\Phi A = \tfrac{1}{2} BA = KP;$$

nam cum est $\Theta K = \Theta A$, ab terminis earum perpendiculares ductae sunt [lineae ΦA, KP], ita ut sub eundem angulum subtendant.[1]) adparet igitur, diametrum circuli ΣH minorem esse quam $\frac{1}{100}\Theta K$. et diametrus $E\Theta\Upsilon$ minor est diametro circuli ΣH, quoniam circulus ΔEZ minor est circulo ΣH [hypoth. 2]. itaque

1) H. e. $\Delta\,\Theta A\Phi \cong \Theta KP$; Eucl. I, 26.

Wallis. ἐλάττων ἐστίν ad πολυγωνίου lin. 16 addidi; om. F, uulgo. 16. ελαττω relicta lacuna quinque litterarum F; corr. Riualtus. 17. ά] η α F; corr. B. 20. ΣH] EH F; corr. ed. Basil. 21. ΘA] scripsi; τα ΘA F, uulgo. 22. περάτων KA Gertzius. ἐπεζευγμέναι ἐντί] scripsi; επιζευγνυμεναι F, uulgo. 28. ΣH] $AB\Gamma$ F; corr. B manu 2. 25. διάμετρος] γωνια F; corr. Riualtus, B mg. ΣH] ABH F; corr. B manu 2. 26. ΣH] EH F; corr. B.

ἢ ἑκατοστὸν μέρος τᾶς ΘΚ. ὥστε ἁ ΘΚ ποτὶ τὰν ΤΣ ἐλάττονα λόγον ἔχει, ἢ τὰ ρ′ ποτὶ τὰ ϙθ′. καὶ ἐπεὶ ἁ μὲν ΘΚ μείζων ἐστὶ τᾶς ΘΡ, ἁ δὲ ΣΤ ἐλάττων τᾶς ΔΤ, ἐλάττω ἄρα καὶ λόγον ἔχει ἁ ΘΡ ποτὶ
21 τὰν ΔΤ, ἢ τὰ ρ′ ποτὶ τὰ ϙθ′. ἐπεὶ δὲ τῶν ΘΚΡ, ΔΚΤ ὀρθογωνίων ἐόντων αἱ μὲν ΚΡ, ΚΤ πλευραὶ ἴσαι ἐντὶ, αἱ δὲ ΘΡ, ΔΤ ἄνισοι, καὶ μείζων ἁ ΘΡ, ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΤ, ΔΚ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΡ, ΘΚ μείζονα μὲν ἔχει λόγον, ἢ ἁ ΘΚ ποτὶ τὰν ΔΚ, ἐλάττω δέ, ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ. εἰ γάρ κα δυῶν τριγώνων ὀρθογωνίων αἱ μὲν ἁτέραι πλευραὶ αἱ περὶ τὰν ὀρθὰν γωνίαν ἴσαι ἔωντι, αἱ δὲ ἁτέραι ἄνισοι, ἁ μείζων γωνία τᾶν ποτὶ ταῖς ἀνίσοις πλευραῖς ποτὶ τὰν ἐλάττονα μείζονα μὲν ἔχει λόγον, ἢ ἁ μείζων γραμμὰ τᾶν ὑπὸ τὰν ὀρθὰν γωνίαν ὑποτεινουσᾶν ποτὶ τὰν ἐλάττονα, ἐλάττονα δέ, ἢ ἁ μείζων γραμμὰ τᾶν περὶ τὰν ὀρθὰν
22 γωνίαν ποτὶ τὰν ἐλάττονα. ὥστε ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΟ, ΘΜ ἐλάττω λόγον ἔχει, ἢ ἁ ΘΡ ποτὶ τὰν ΔΤ, ἅτις ἐλάττω λόγον ἔχει, ἢ τὰ ρ′ ποτὶ τὰ ϙθ′. ὥστε καὶ ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ ποτὶ τὰν γωνίαν τὰν περιεχομέναν ὑπὸ τᾶν ΘΜ, ΘΟ ἐλάττω λόγον ἔχει ἢ τὰ ρ′ ποτὶ τὰ ϙθ′. καὶ ἐπεί ἐστιν ἁ γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΔΛ, ΔΞ μείζων ἢ διακοσιοστὸν μέρος ὀρθᾶς, εἴη κα ἁ

---

1. τᾶς] του per comp. F; corr. Riualtus (τῆς). 3. ΘΚ μείζων] scripsi; ΘΚV ελαττων F, uulgo; ΘΚ οὐκ ἐλάττων Wallis, Torellius (οὐκ iam A). 4. εχοι FB. 5. τάν] τα F; corr. BC. ἐπεί] επι F; corr. Wallis. δέ] addidi; om. F, uulgo. 6. ΔΚΤ τριγώνων ed. Basil., cett.; probat Gertzius. 7. ΘΡ, ἁ] $\overline{ΟΡΑ}$ F; corr. Wallis. 8. γωνία ἁ] ἁ addidi; om.

$$\Theta\Upsilon + K\Sigma < \tfrac{1}{100}\Theta K.$$

quare $\Theta K : \Upsilon\Sigma < 100 : 99$. et quoniam $\Theta K > \Theta P$ et $\Sigma\Upsilon < \Delta T$[1]), erit igitur etiam $\Theta P : \Delta T < 100 : 99$. et 21 quoniam in triangulis rectangulis ΘKP, ΔKT latera KP, KT aequalia sunt, latera autem ΘP, ΔT inaequalia, et $\Theta P > \Delta T$[2]), angulus lineis ΔT, ΔK comprehensus ad angulum lineis ΘP, ΘK comprehensum maiorem rationem habet, quam $\Theta K : \Delta K$, minorem autem, quam $\Theta P : \Delta T$. nam si in duobus triangulis rectangulis duo laterum rectum angulum comprehendentium aequalia sunt, duo inaequalia, maior angulorum ad latera inaequalia positorum ad minorem maiorem rationem habet, quam maior linea earum, quae sub angulum rectum subtendunt, ad minorem, minorem autem quam maior linearum angulum rectum comprehendentium ad minorem.[3]) quare 22
$\angle A\Delta\Xi : O\Theta M < \Theta P : \Delta T$; sed $\Theta P : \Delta T < 100 : 99$. quare etiam erit $\angle A\Delta\Xi : O\Theta M < 100 : 99$. et quoniam est $\angle A\Delta\Xi > \tfrac{1}{200}R$, erit etiam

$$\angle O\Theta M > \tfrac{99}{20000}R.$$

1) Quia $\Sigma\Upsilon$ omnium linearum duo puncta circulorum ΔEZ, ΣH iungentium minima est; Nizze p. 214 not. β.

2) Quia $\Theta K > \Delta K$; nam crura anguli lineis contingentibus comprehensi eo maiora sunt, quo longius uertex anguli a centro circuli abest.

3) Demonstrationem huius propositionis geometricam dedit Commandinus fol. 62 (Quaest. Arch. p. 204—5), trigonometricam Nizze p. 214 not. γ.

F, uulgo. τᾶν] των per comp. F; corr. VD. 9. τᾶν] των per comp. F; corr. Wallis, ut lin. 19, 20, 25, p. 262, 1. 15. τᾶν] τα F; corr. B. 16. υποτεινὀυσα F; corr. Wallis. ποτί] om. F; corr. B. 20. ΘΟ] Θν F; corr. Wallis. 23. τᾶν] των per comp. F; corr. VAD, ut lin. 24. περιεχομενα F. 26. εἴη κα] ῆ εικα F; corr. B; ἐσσεῖται Wallis, Torellius.

γωνία ἁ περιεχομένα ὑπὸ τᾶν ΘΜ, ΘΟ μείζων ἢ τᾶς ὀρθᾶς διαιρεθείσας ἐς δισμύρια τούτων ϙθ′ μέρεα. ὥστε μείζων ἐστὶν ἢ διαιρεθείσας τᾶς ὀρθᾶς εἰς σ′ καὶ γ′ τούτων ἓν μέρος. ἁ ἄρα ΒΑ μείζων ἐστὶ τᾶς ὑποτεινούσας ἓν τμᾶμα διῃρημένας τᾶς τοῦ ΑΒΓ κύκλου περιφερείας εἰς ωιβ′. τᾷ δὲ ΑΒ ἴσα ἐντὶ ἁ τοῦ ἁλίου διάμετρος. δῆλον οὖν, ὅτι μείζων ἐστὶν ἁ τοῦ ἁλίου διάμετρος τᾶς τοῦ χιλιαγώνου πλευρᾶς.

1 II. Τούτων δὲ ὑποκειμένων δεικνύται καὶ τάδε· ὅτι ἁ διάμετρος τοῦ κόσμου τᾶς διαμέτρου τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ μυριοπλασίων, καὶ ἔτι ὅτι ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἐστὶν ἢ σταδίων μυριάκις μυριάδες ρ′. ἐπεὶ γὰρ ὑποκείται τὰν διάμετρον τοῦ ἁλίου μὴ μείζονα εἶμεν ἢ τριακονταπλασίονα τᾶς διαμέτρου τᾶς σελήνας, τὰν δὲ διάμετρον τᾶς γᾶς μείζονα εἶμεν τᾶς διαμέτρου τᾶς σελήνας, δῆλον, ὡς ἁ διάμετρος τοῦ ἁλίου ἐλάττων ἐστὶν ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. πάλιν δὲ ἐπεὶ ἐδείχθη ἁ διάμετρος τοῦ ἁλίου μείζων ἐοῦσα τᾶς τοῦ χιλιαγώνου πλευρᾶς τοῦ εἰς τὸν μέγιστον κύκλον ἐγγραφομένου τῶν ἐν τῷ κόσμῳ, φανερόν, ὅτι ἁ τοῦ χιλιαγώνου περίμετρος τοῦ εἰρημένου ἐλάττων ἐστὶν ἢ χιλιοπλασίων τᾶς διαμέτρου τοῦ ἁλίου. ἁ δὲ διάμετρος τοῦ ἁλίου ἐλάττων ἐστὶν ἢ τριακονταπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. ὥστε ἁ περίμετρος τοῦ χιλιαγώνου ἐλάττων ἐστὶν ἢ
2 τρισμυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. ἐπεὶ οὖν ἁ περίμετρος τοῦ χιλιαγώνου τᾶς μὲν διαμέτρου τᾶς

1. ἁ] om. F. 2. μερος F; corr. Wallis. 4. ἁ ἄρα ΒΑ] scripsi; αρα α ΒΑ F, uulgo. 6. εἰς] αις F; corr. B (ἐς). τᾷ] ταν F; corr. BVAD. 10. ὅτι] scripsi; οιον F, uulgo. 11. ὅτι] addidi; om. F, uulgo. 12. μυριακ cum comp. ης F. 14. μείζονα] μειζ cum comp. ων F; corr. B. τριακονταπλασι

quare $\angle O\Theta M > \frac{1}{203} R$.[1]) quare linea BA maior est linea sub unam partem subtendenti, ambitu circuli $AB\Gamma$ in partes 812 diuiso. sed lineae AB aequalis est diametrus solis.[2]) adparet igitur[3]), diametrum solis maiorem esse latere figurae mille laterum.

II. His autem suppositis haec quoque demonstrari 1
possunt: diametrum mundi minorem esse diametro terrae decies millies sumpta, et praeterea, diametrum mundi minus quam 10000000000 stadia longam esse. nam quoniam suppositum est, diametrum solis non maiorem esse quam diametrum lunae tricies sumptam [hypoth. 3], et diametrum terrae maiorem esse diametro lunae [hypoth. 2], adparet, diametrum solis minorem esse quam diametrum terrae tricies sumptam. rursus autem quoniam demonstratum est, diametrum solis maiorem esse latere figurae mille laterum circulo maximo mundi inscriptae, manifestum est, perimetrum figurae illius mille laterum minorem esse diametro solis millies sumpta. diametrus autem solis minor est quam diametrus terrae tricies sumpta. quare perimetrus figurae mille laterum minor est diametro terrae tricies millies sumpta. iam quoniam perimetrus figurae mille 2
laterum minor est diametro terrae tricies millies

1) Nam $99 > \frac{1}{203} \times 20000$.
2) H. e. diametrus circuli ΣH; u. p. 258, 19.
3) Quia latera polygonorum inscriptorum, quo plura, eo minora sunt; itaque latus figurae 812 laterum, quod minus est linea AB, maius est latere figurae mille laterum.

cum comp. ων F; corr. B. 15. σελήνας] σελιν cum comp. ας F, ed. Basil., ut lin. 16. μείζονα] μειζ cum comp. ων F; corr. B.

γᾶς ἐλάττων ἐστὶν ἢ τρισμυριοπλασίων, τᾶς δὲ διαμέτρου τοῦ κόσμου μείζων ἢ τριπλασίων· δεδείκται γάρ τοι, διότι παντὸς κύκλου ἁ διάμετρος ἐλάττων ἐστὶν ἢ τρίτον μέρος παντὸς πολυγωνίου τᾶς περιμέτρου, ὅ κα ᾖ ἰσόπλευρον καὶ πολυγωνότερον τοῦ ἑξαγώνου ἐγγεγραμμένον ἐν τῷ κύκλῳ· εἴη κα ἁ διάμετρος τοῦ κόσμου ἐλάττων ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς. ἁ μὲν οὖν διάμετρος τοῦ κόσμου ἐλάττων ἐοῦσα ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς δέδείκται. ὅτι δὲ ἐλάττων ἐστὶν ἁ διάμετρος τοῦ κόσμου ἢ σταδίων μυριάκις μυριάδες ρ′, ἐκ τούτου
3 *δῆλον. ἐπεὶ γὰρ ὑποκείται τὰν περίμετρον τᾶς γᾶς μὴ μείζονα εἶμεν ἢ τριακοσίας μυριάδας σταδίων, ἁ δὲ περίμετρος τᾶς γᾶς μείζων ἐστὶν ἢ τριπλασία τᾶς διαμέτρου διὰ τὸ παντὸς κύκλου τὰν περιφέρειαν μείζονα εἶμεν ἢ τριπλασίονα τᾶς διαμέτρου, δῆλον, ὡς ἁ διάμετρος τᾶς γᾶς ἐλάττων ἐστὶν ἢ σταδίων ρ′ μυριάδες. ἐπεὶ οὖν ἁ τοῦ κόσμου διάμετρος ἐλάττων ἐστὶν ἢ μυριοπλασίων τᾶς διαμέτρου τᾶς γᾶς, δῆλον, ὡς ἁ τοῦ κόσμου διάμετρος ἐλάττων ἐστὶν ἢ σταδίων*
4 *μυριάκις μυριάδες ρ′. περὶ μὲν οὖν τῶν μεγεθέων καὶ τῶν ἀποστημάτων ταῦτα ὑποτιθέμαι, περὶ δὲ τοῦ ψάμμου τάδε· εἴ κα ᾖ τι συγκείμενον μέγεθος ἐκ τοῦ ψάμμου μὴ μεῖζον μάκωνος, τὸν ἀριθμὸν αὐτοῦ μὴ μείζονα εἶμεν μυρίων, καὶ τὰν διάμετρον τᾶς μάκωνος μὴ ἐλάττονα εἶμεν ἢ τετρωκοστομόριον δακτύλου. ὑπο-*

---

5. *ὅ κα*] *ὁ και* F; corr. Wallis. *ᾖ*] addidi; om. F, uulgo. *ἰσόπλευρον*] scripsi; *εισ ο ε̄θ πλευραν* (*αν* per comp.) *εον* F, uulgo; *ἰσόπλευρον ἐόν* Wallis, Torellius. *πολυγωνότερον*] scripsi; *πολυγωνου οτι* (per comp.) F, uulgo; *πολυγωνιώτερον* Wallis, Torellius. 6. *εγγεγραμμενου* F; corr. Wallis. *ἐν τῷ κύκλῳ*] scripsi; *μεν του κυκλου* F, uulgo; *μὲν τῷ κύκλῳ*

sumpta, maior autem quam triplo maior diametro mundi (nam demonstratum est, cuiusuis circuli diametrum minorem esse tertia parte perimetri cuiusuis polygoni circulo inscripti, quod aequilaterum sit et plus quam sex latera habeat)[1]), diametrus mundi minor erit diametro terrae decies millies sumpta. itaque demonstratum est, diametrum mundi minorem esse diametro terrae decies millies sumpta. diametrum autem mundi minus quam stadia 10000000000 longam
esse, inde adparet. nam quoniam suppositum est, peri- 3
metrum terrae non plus quam 3000000 stadia longam esse [hypoth. 4], et perimetrus terrae maior est quam triplo maior diametro, quia cuiusuis circuli ambitus maior est quam triplo maior diametro [κύκλ. μετρ. 3], adparet, diametrum terrae minus quam 1000000 stadia longam esse. iam quoniam diametrus mundi minor est diametro terrae decies millies sumpta, adparet, diametrum mundi minus quam 10000000000 stadia longam
esse. de magnitudinibus igitur et distantiis haec sup- 4
pono, de arena autem haecce: si ex arena magnitudo colligatur non maior semine papaueris, numerum arenae non maiorem esse quam 10000, et diametrum seminis papaueris non minorem esse quadragesima parte

1) Nam perimetrus hexagoni triplo maior est diametro (Eucl. IV, 5 *πόρισμ.*), et quo plura sunt latera, eo maiores sunt perimetri.

Wallis, Torellius. 9. *τᾶς γᾶς* ad *διάμετρος* lin. 10 suppleui; om. F, uulgo. 12. *τάν*] *τον* per comp. FD, ed. Basil. 13. *ἁ*] *εστιν* (comp.) *ἁ* F; corr. Wallis. 14. *ἤ*] om. F; corr. AB. 16. *τριπλασι* cum comp. *ων* F; corr. B. 21. *μυριακ* cum comp. *ης* F. *μὲν οὖν τῶν*] addidi; om. F, uulgo. 24. *μεῖζον*] *μειζ* cum comp. *ων* F; corr. B. 26. *τετρωκοστομόριον*] Ahrens cum V manu 2; *τετρωκοντομοριον* F, uulgo.

τιθέμαι δὲ τοῦτο ἐπισκεψάμενος τόνδε τὸν τρόπον· ἐτέθεν ἐπὶ κανόνα λεῖον μακώνες ἐπ' εὐθείας ἐπὶ μίαν κειμέναι ἁπτομέναι ἀλλαλᾶν, καὶ ἀνελάβον αἱ κε΄ μακώνες πλέονα τόπον δακτυλιαίου μάκεος. ἐλάττονα οὖν τιθεὶς τὰν διάμετρον τᾶς μάκωνος ὑποτιθέμαι ὡς τετρωκοστομόριον εἶμεν δακτύλου καὶ μὴ ἐλάττονα, βουλόμενος καὶ διὰ τούτων ἀναμφιλογώτατα δεικνύσθαι τὸ προκείμενον.

1 III. *Ἃ μὲν οὖν ὑποτιθέμαι, ταῦτα. χρήσιμον δὲ εἶμεν ὑπολαμβάνω τὰν κατονόμαξιν τῶν ἀριθμῶν ῥηθῆμεν, ὅπως καὶ τῶν ἄλλων οἱ τῷ βιβλίῳ μὴ περιτετευχότες τῷ ποτὶ Ζεύξιππον γεγραμμένῳ μὴ πλανῶνται διὰ τὸ μηδὲν εἶμεν ὑπὲρ αὐτᾶς ἐν τῷδε τῷ*
2 *βιβλίῳ προειρημένον. συμβαίνει δὴ τὰ ὀνόματα τῶν ἀριθμῶν ἐς τὸ μὲν τῶν μυρίων ὑπάρχειν ἁμῖν παραδεδομένα, καὶ ὑπὲρ τὸ τῶν μυρίων [μὲν] ἀποχρεόντως ἐγγιγνώσκομες μυριάδων ἀριθμὸν λεγόντες ἔστε ποτὶ τὰς μυρίας μυριάδας. ἔστων οὖν ἁμῖν οἱ μὲν νῦν εἰρημένοι ἀριθμοὶ ἐς τὰς μυρίας μυριάδας πρῶτοι καλουμένοι. τῶν δὲ πρώτων ἀριθμῶν αἱ μυρίαι μυριάδες μονὰς καλείσθω δευτέρων ἀριθμῶν, καὶ ἀριθμείσθων τῶν δευτέρων μονάδες καὶ ἐκ τᾶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες ἐς τὰς μυρίας μυριάδας. πάλιν δὲ καὶ αἱ μυρίαι μυρι-*

---

3. *αλλαλων* F; corr. C. 4. *δακτυλι αἱ* F. *οὖν*] addidi; om. F, uulgo. 7. *ἀναμφιλογώτατα*] scripsi; *αναμφιλογωτατον* F; uulgo. 10. *αριθμ* cum comp. *ον* F. 11. *περιτετευχότες*] *περιτευατ' ἐς* F; corr. Nizze. 12. *τῷ*] *το* F; corr. Wallis. 14. *προειρημενων* F; corr. Riualtus. 15. *τό*] *τα* F; corr. Wallis. *μέν*] corruptum? 16. *τό*] addidi; om. F, uulgo. *μέν*] deleo. *ὑπὲρ τῶν μειζόνων ἀποχρεόντως* Gertzius. 17. *ἐγγιγνώσκομες*] scripsi; *εγιγνωσκομεν* F, uulgo; *γιγνώσκομες* Gertzius. *ἔστε ποτί*] scripsi; *ες τοις ποτι* F, uulgo; *ἐς* Wal-

digiti. hoc autem suppono re hoc modo examinata: in regula laeui semina papaueris in eadem linea recta posita sunt, ita ut inter se tangerent, et uiginti quinque semina spatium maius longitudine digitali expleuerunt. diametrum igitur seminis papaueris minorem ponens eam quadragesimam fere partem digiti nec minorem esse suppono, propositum etiam, quod ad hanc rem pertinet, quam certissime demonstrari cupiens.[1])

III. Haec sunt igitur, quae suppono. utile autem 1
esse existimo, denominationem numerorum exponi, ut ceterorum quoque qui in librum ad Zeuxippum missum non inciderunt, ne haereant, quod nihil de ea hoc
in libro dictum sit. accidit igitur, ut nomina numerorum 2
ad 10000 nobis tradita sint, et super 10000 satis ea intellegimus myriades numerantes usque ad 100000000. hi igitur numeri usque ad 100000000 primi uocentur. sed decem millia myriadum primorum numerorum unitas uocetur secundorum numerorum, et numerentur secundorum numerorum unitates et ex unitatibus decades et hecatontades et chiliades et myriades ad decem millia myriadum. rursus autem etiam decem

---

1) Cfr. Kästner: Gesch. d. Mathem. II p. 746.

---

lis, Torellius. 18. *μυρίας*] om. F; corr. Wallis. *ἔστων*] Wallis; *εστω* F, uulgo. 19. *τα μυριαν μυριαδ* cum comp. *ων* F; corr. Wallis. 21. *ἀριθμῶν*] om. F; corr. Wallis. *ἀριθμείσθων*] scripsi; *αριθμων* F, uulgo. 22. *δευτέρων ἀριθμῶν* Wallis, Torellius. *ἐκ τᾶν*] scripsi; *ἑκατον* F, uulgo; *αἱ ἀπὸ τῶν* B, *ἀπὸ τᾶν* Wallis, Torellius. 23. *ἐς τάς*] *εσται* F; corr. Wallis. 24. *μυρι* (cum comp. *ων*) *μυριαδων* F; corr. Wallis.

ἀδες τῶν δευτέρων ἀριθμῶν μονὰς καλείσθω τρίτων ἀριθμῶν, καὶ ἀριθμείσθων τῶν τρίτων ἀριθμῶν μονάδες καὶ ἀπὸ τᾶν μονάδων δεκάδες καὶ ἑκατοντάδες καὶ χιλιάδες καὶ μυριάδες ἐς τὰς μυρίας μυριάδας.

3 τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν τρίτων ἀριθμῶν μυρίαι μυριάδες μονὰς καλείσθω τετάρτων ἀριθμῶν, καὶ αἱ τῶν τετάρτων ἀριθμῶν μυρίαι μυριάδες μονὰς καλείσθω πέμπτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως προαγόντες οἱ ἀριθμοὶ τὰ ὀνόματα ἐχόντων ἐς τὰς μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυριάδας. ἀποχρέοντι μὲν οὖν καὶ ἐπὶ τοσοῦτον οἱ ἀριθμοὶ γιγνωσκομένοι. ἔξεστι

4 δὲ καὶ ἐπὶ πλέον προάγειν. ἔστων γὰρ οἱ μὲν νῦν εἰρημένοι ἀριθμοὶ πρώτας περιόδου καλουμένοι, ὁ δὲ ἔσχατος ἀριθμὸς τᾶς πρώτας περιόδου μονὰς καλείσθω δευτέρας περιόδου πρώτων ἀριθμῶν. πάλιν δὲ καὶ αἱ μυρίαι μυριάδες τᾶς δευτέρας περιόδου πρώτων ἀριθμῶν μονὰς καλείσθω τᾶς δευτέρας περιόδου δευτέρων ἀριθμῶν. ὁμοίως δὲ καὶ τούτων ὁ ἔσχατος μονὰς καλείσθω δευτέρας περιόδου τρίτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως οἱ ἀριθμοὶ προαγόντες τὰ ὀνόματα ἐχόντων τᾶς δευτέρας περιόδου ἐς τὰς μυριακισμυριοστῶν ἀριθμῶν μυρίας μυριάδας. πάλιν δὲ καὶ ὁ ἔσχατος ἀριθμὸς τᾶς δευτέρας περιόδου μονὰς καλείσθω τρίτας περιόδου πρώτων ἀριθμῶν, καὶ ἀεὶ οὕτως προαγόντων ἐς τὰς μυριακισμυριοστᾶς περιόδου μυριακισμυριοστῶν

---

2. *ἀριθμείσθων*] scripsi; *αριθμεισθω* F, uulgo; *ἀριθμείσθωσαν* Wallis, Torellius. 3. *και αι απο* F, uulgo; *αἱ* deleui. 4. *ἐς τάς*] *εσται* F; corr. Wallis. *μυριαν μυριαδες* F; corr. Wallis. 6. *ἀριθμῶν*] ϛϛ͡ F, ut infra saepius. 9. *εχοντες* F; corr. Wallis. *ἐς τάς*] *εσται* F; corr. Wallis. 10. *μυριαι μυριαδες* F; corr. Wallis. *αποχρεωντι* F; corr. VB. 11. *ἐπὶ τοσοῦτον*] scripsi; *απο τοσουντ* cum comp. *ων* F; *ἀπὸ το-*

millia myriadum secundorum numerorum unitas uo-
cetur tertiorum numerorum, et numerentur tertiorum
numerorum unitates et ab unitatibus decades et
hecatontades et chiliades et myriades ad decem
millia myriadum. et eodem modo etiam tertiorum 3
numerorum decem millia myriadum unitas uocetur
quartorum numerorum, et quartorum numerorum de-
cem millia myriadum unitas uocetur quintorum nu-
merorum, et semper hoc modo procedentes numeri
nominentur usque ad decem millia myriadum nume-
rorum centies millies millesimorum. et satis quidem
est, numeros hunc ad finem cognosci. sed licet etiam 4
ultra progredi. nam numeri, quos adhuc commemo-
rauimus, primae periodi numeri uocentur, et ultimus
numerus primae periodi unitas uocetur primorum nu-
merorum secundae periodi. rursus autem decem millia
myriadum primorum numerorum secundae periodi uni-
tas uocetur secundorum numerorum secundae periodi.
et eodem modo etiam horum ultimus unitas uocetur
tertiorum numerorum secundae periodi, et numeri
semper hoc modo procedentes periodi secundae no-
minentur usque ad decem millia myriadum numerorum
centies millies millesimorum. rursus autem ultimus
numerus secundae periodi unitas uocetur primorum
numerorum tertiae periodi, et semper hoc modo pro-
cedant usque ad decem millia myriadum numerorum
centies millies millesimorum periodi centies millies

σούτων uulgo. 13. *πρωτης* F; corr. Wallis. 14. *πρώτας*] om. F; corr. B. 16. *πρώτων* ad *περιόδου* lin. 17 om. F; corr. Wallis. 21. *ἐς τάς*] *εσται* F; corr. Wallis. 22. *μυριριαι μυριαδες* F; *μυρίαι μυριάδες* uulgo; corr. Wallis. 25. *τάς*] *ται* F; corr. Wallis.

5 ἀριθμῶν μυρίας μυριάδας. τούτων δὲ οὕτως κατωνομασμένων, εἴ κα ἔωντι ἀριθμοὶ ἀπὸ μονάδος ἀνάλογον ἑξῆς κειμένοι, ὁ δὲ παρὰ τὰν μονάδα δεκὰς ᾖ, ὀκτὼ μὲν αὐτῶν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων ἀριθμῶν καλουμένων ἐσσοῦνται, οἱ δὲ μετ' αὐτοὺς ἄλλοι ὀκτὼ τῶν δευτέρων καλουμένων, καὶ οἱ ἄλλοι τὸν αὐτὸν τρόπον τούτοις τῶν συνωνύμων καλουμένων ἐσσοῦνται τᾷ ἀποστάσει τᾶς ὀκτάδος τῶν ἀριθμῶν ἀπὸ τᾶς πρώτας ὀκτάδος τῶν ἀριθμῶν. τᾶς μὲν οὖν πρώτας ὀκτάδος τῶν ἀριθμῶν ὁ ὄγδοός ἐστιν ἀριθμὸς χιλίαι μυριάδες, τᾶς δὲ δευτέρας ὀκτάδος ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶν τοῦ πρὸ αὐτοῦ, μυρίαι μυριάδες ἐσσεῖται. οὗτος δέ ἐστι μονὰς τῶν δευτέρων ἀριθμῶν. ὁ δὲ ὄγδοος τᾶς δευτέρας ὀκτάδος ἐστὶ χιλίαι μυριάδες τῶν δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ τᾶς τρίτας ὀκτάδος ὁ πρῶτος, ἐπεὶ δεκαπλασίων ἐστὶ τοῦ πρὸ αὐτοῦ, μυρίαι μυριάδες ἐσσεῖται τῶν δευτέρων ἀριθμῶν. οὗτος δέ ἐστιν μονὰς τῶν τρίτων ἀριθμῶν. φανερὸν δέ, ὅτι καὶ ὁποσαιοῦν

6 ὀκτάδες ἑξοῦντι, ὡς εἰρήται. χρήσιμον δέ ἐστι καὶ τόδε γιγνωσκόμενον. εἴ κα ἀριθμῶν ἀπὸ τᾶς μονάδος ἀνάλογον ἐόντων πολλαπλασιάζωντί τινες ἀλλάλους τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας, ὁ γενόμενος ὁμοίως ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπέχων ἀπὸ μὲν τοῦ μείζονος τῶν πολλαπλασιαξάντων ἀλλάλους, ὅσους ὁ ἐλάττων τῶν πολλαπλασιαξάντων ἀπὸ μονάδος ἀνάλογον ἀπέχει,

---

1. μυριαι μυριαδες F; corr. Wallis. κατονομασμενων F, ed. Basil. 4. μέν] scripsi; ειεν F, uulgo; om. Wallis, Torellius. 6. καλουμενοι F; corr. Wallis. 8. τᾷ] addidi; om. F, uulgo. 9. τᾶς] (alt.) ά F; corr. B. 19. ὅτι] ἐστι per comp. F; corr. ed. Basil.; ἐστὶν ὅτι B. ὁποσαιοῦν] scripsi; πολλαι F, uulgo. 21. της per comp. F; corr. V. 22. εων-

millesimae.[1]) his autem ita denominatis, si numeri 5 aliquot dati sunt ab unitate in eadem proportione, et numerus unitati proximus decas est, octo eorum primi cum unitate ex numeris primis, qui uocantur, erunt, octo autem eos proxime sequentes ex secundis, et ceteri eodem modo ex numeris erunt eodem numero denominatis, qui distantiam octadis numerorum a prima octade indicat. primae igitur octadis numerorum octauus numerus est mille myriades, secundae autem octadis primus, quoniam aequalis est praecedenti decies sumpto, decem millia myriadum erunt. haec autem unitas est secundorum numerorum. et octauus numerus secundae octadis mille myriades sunt secundorum numerorum. et porro etiam tertiae octadis primus numerus, quoniam aequalis est praecedenti decies sumpto, decem millia myriadum erunt secundorum numerorum. haec autem unitas est tertiorum numerorum. et manifestum est, quotlibet octades ita fore, ut dictum est. uerum hoc quoque utile est 6 cognitu. si ex numeris ab unitate in eadem proportione positis, aliqui inter se multiplicantur eorum, qui in eadem proportione sunt, etiam productum in eadem erit proportione a maiore multiplicatorum tot numeros distans, quot minor multiplicatorum ab unitate distat

1) Conspectus horum numerorum systematis u. Quaest. Arch. p. 59; Nizze p. 218; Nesselmann: Algebra d. Griechen p. 122 sq. ultimus est $10^{8 \cdot 10^{16}}$.

των F; corr. Riualtus. πολλαπλασιάζωντι] scripsi; πολλαπλασιαζοντες F, uulgo. 23. γενόμενος] ταν F; corr. Wallis, deleto ὁμοίως. 24. μὲν τοῦ μείζονος] scripsi; μεν cum comp. ουν F, uulgo; μείζονος Wallis, Torellius. 26. απεχη F; corr. V.

ἀπὸ δὲ τᾶς μονάδος ἀφέξει ἑνὶ ἐλαττόνας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μο-
7 *νάδος οἱ πολλαπλασιαξάντες ἀλλάλους. ἔστων γὰρ ἀριθμοί τινες ἀνάλογον ἀπὸ μονάδος, οἱ Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ, Ι, Κ, Λ, μονὰς δὲ ἔστω ὁ Α. καὶ πεπολλαπλασιάσθω ὁ Δ τῷ Θ, ὁ δὲ γενόμενος ἔστω ὁ Χ. λελάφθω δὴ ἐκ τᾶς ἀναλογίας ὁ Λ ἀπέχων ἀπὸ τοῦ Θ τοσούτους, ὅσους ὁ Δ ἀπὸ μονάδος ἀπέχει. δεικτέον, ὅτι ἴσος ἐστὶν ὁ Χ τῷ Λ. ἐπεὶ οὖν ἀνάλογον ἐόντων ἀριθμῶν ἴσους ἀπέχει ὅ τε Δ ἀπὸ τοῦ Α, καὶ ὁ Λ ἀπὸ τοῦ Θ, τὸν αὐτὸν ἔχει λόγον ὁ Δ ποτὶ τὸν Α, ὃν ὁ Λ ποτὶ τὸν Θ. πολλαπλασίων δέ ἐστιν ὁ Δ τοῦ Α τῷ Δ. πολλαπλασίων ἄρα ἐστὶν καὶ ὁ Λ τοῦ Θ τῷ Δ.*
8 *ὥστε ἴσος ἐστὶν ὁ Λ τῷ Χ. δῆλον οὖν, ὅτι ὁ γενόμενος ἐκ τᾶς ἀναλογίας τέ ἐστιν καὶ ἀπὸ τοῦ μείζονος τῶν πολλαπλασιαξάντων ἀλλάλους ἴσους ἀπέχων, ὅσους ὁ ἐλάττων ἀπὸ τᾶς μονάδος ἀπέχει. φανερὸν δέ, ὅτι καὶ ἀπὸ μονάδος ἀπέχει ἑνὶ ἐλαττόνας, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ τᾶς μονάδος οἱ Δ, Θ. οἱ μὲν γὰρ Α, Β, Γ, Δ, Ε, Ζ, Η, Θ τοσοῦτοι ἐντί, ὅσους ὁ Θ ἀπὸ μονάδος ἀπέχει, οἱ δὲ Ι, Κ, Λ ἑνὶ ἐλαττόνες, ἢ ὅσους ὁ Δ ἀπὸ μονάδος ἀπέχει· σὺν γὰρ τῷ Θ τοσοῦτοι ἐντί.*

---

1. *ελαττωνας* F. 2. *ὁ*] addidi; om. F, uulgo. *οὓς*] *ως* F; corr. Wallis. *απεχωντι* F; corr. V. *μονάδος*] *μαδος* F, ut lin. 4, 8. 6. *Χ. λελάφθω*] scripsi; *ΧΛ, ειληφθω* F, uulgo; *Λ* om. Wallis, Torellius. 7. *ἐκ*] scripsi; *ὁ ΘΚ* F, uulgo; *ὁ ἐκ* Wallis, Torellius. *τᾶς αὐτᾶς* Wallis, Torellius. *Λ*] *ΦΛ* F; corr. Wallis. 9. *ἴσος*] per comp. F. 10. *ἀριθμῶν*] scripsi; *ισων* per comp. F; *ἴσον* B, alii. 11. *ταν αὐταν* FVA, ed. Basil. 15. *τᾶς αὐτᾶς* Wallis, Torellius. 16. *ἴσους*] scripsi; *ισον* per comp. F, uulgo. 20. *οἱ Δ, Θ. οἱ μὲν γάρ*] scripsi; *οιδε μεν γαρ οι* F, uulgo. 22. *ἑνί*] *επι* F; corr. BD. 23. Hic spatium uacat in FVBCD.

in proportione, ab unitate uero distabit uno pauciores, quam quantus numerus est utrorumque, quos numeri inter se multiplicati ab unitate distant. sint enim 7
numeri aliquot $A, B, \Gamma, \Delta, E, Z, H, \Theta, I, K, \Lambda$ ab unitate in eadem proportione positi, et unitas sit A. et multiplicentur Δ, Θ, et productum sit X. sumatur igitur ex proportione Λ ab Θ tot numeros distans, quot Δ ab unitate distat. demonstrandum, esse $X = \Lambda$. iam quoniam inter numeros inter se proportionales Δ ab A tot loca abest, quot Λ ab Θ, erit igitur

$$\Delta : A = \Lambda : \Theta.$$

sed $\Delta = \Delta \times A$. quare $\Lambda = \Delta \times \Theta$. quare $\Lambda = X$.
adparet igitur, productum et ex eadem proportione esse 8
et a maiore numerorum inter se multiplicatorum tot loca abesse, quot minor ab unitate absit. manifestum est autem, productum etiam ab unitate uno pauciora loca abesse, quam quantus est numerus utrorumque locorum, quae ab unitate absunt Δ, Θ. nam A, B, Γ, Δ, E, Z, H, Θ tot sunt, quot Θ ab unitate abest, et I, K, Λ uno pauciores, quam quot Δ ab unitate abest; nam adsumpto Θ totidem sunt.[1])

1) De hac propositione cfr. Quaest. Arch. p. 58. nos sic idem demonstraremus: sit series $\overset{1}{1}, \overset{2}{a^1}, \overset{3}{a^2}, \dots \overset{n}{a^{n-1}}, \overset{n+1}{a^n} \dots \overset{m+1}{a^m}, \overset{m+2}{a^{m+1}}, \dots \overset{m+n+1}{a^{m+n}}$.
itaque $a^n \,.\, a^m = a^{m+n}$, quod ab a^m abest loca $(n+1)$, ab unitate uero $m + n + 1 = (m+1) + (n+1) \div 1$.

1 IV. *Τούτων δὲ τῶν μὲν ὑποκειμένων, τῶν δὲ ἀποδεδειγμένων τὸ προκείμενον δειχθησέται. ἐπεὶ γὰρ ὑποκείται τὰν διάμετρον τᾶς μάκωνος μὴ ἐλάσσονα εἶμεν ἢ τετρωκοστομόριον δακτύλου, δῆλον, ὡς ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διάμετρον οὐ μείζων ἐστὶν ἢ ὥστε χωρεῖν μακώνας ἑξακισμυρίας καὶ τετρακισχιλίας· τᾶς γὰρ σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον τετρωκοστομόριον δακτύλου πολλαπλασία ἐστὶν τῷ εἰρημένῳ ἀριθμῷ. δεδείκται γάρ τοι, ὅτι αἱ σφαίραι τριπλάσιον λόγον ἔχοντι ποτὶ ἀλλάλας τᾶν διαμέτρων.*

2 *ἐπεὶ δὲ ὑποκείται καὶ τοῦ ψάμμου τὸν ἀριθμὸν τοῦ ἴσον τῷ τᾶς μάκωνος μεγέθει ἔχοντος μέγεθος μὴ μείζονα εἶμεν μυρίων, δῆλον, ὡς, εἰ πληρωθείη ψάμμου ἁ σφαῖρα ἁ δακτυλιαίαν ἔχουσα τὰν διάμετρον, οὐ μείζων κα εἴη ὁ ἀριθμὸς τοῦ ψάμμου ἢ μυριάκις τὰ ἑξακισμύρια καὶ τετρακισχίλια. οὗτος δέ ἐστιν ὁ ἀριθμὸς μονάδες τε ϛ′ τῶν δευτέρων ἀριθμῶν καὶ τῶν πρώτων μυριάδες τετρακισχιλίαι. ἐλάσσων οὖν ἐστιν ἢ ι′ μονάδες τῶν δευτέρων ἀριθμῶν. ἁ δὲ τῶν ρ′ δακτύλων ἔχουσα τὰν διάμετρον σφαῖρα πολλαπλασία ἐστὶν τᾶς δακτυλιαίαν ἐχούσας τὰν διάμετρον σφαίρας ταῖς ρ′ μυριάδεσσιν διὰ τὸ τριπλάσιον λόγον ἔχειν ποτ' ἀλλάλας τᾶν διαμέτρων τὰς σφαίρας. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον δακτύλων ρ′, δῆλον, ὡς ἐλάττων ἐσσείται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλα-*

5. *σφαῖρα ἁ*] scripsi; *ἁ* om. F, uulgo. 8. *τετρακοστομοριον* F; corr. Ahrens. 10. *εχωντι* F; corr. V. 12. *τοῦ ἴσον τῷ*] scripsi; *εις το* F, uulgo. *μακονος* F; corr. BC. *μεγέθει ἔχοντος*] addidi; om. F, uulgo. 13. *μειζ* cum comp. *ον* F; corr. Wallis. 14. *τοῦ ψάμμου* Gertzius. 15. *μειζ*

IV. His autem partim suppositis, partim demon- 1
stratis, propositum demonstrabitur. nam quoniam sup-
positum est, diametrum seminis papaueris non mino-
rem esse quam partem quadragesimam digiti [II, 4],
adparet, sphaeram diametrum digitalem habentem ma-
iorem non esse, quam ut 64000 seminum papaueris
capiat. hoc enim numero multiplex est quam sphaera
diametrum habens partem quadragesimam digiti. nam
demonstratum est, sphaeras triplicem rationem habere
inter se, quam diametri habeant [Eucl. XII, 18]. quo- 2
niam autem hoc quoque suppositum est, numerum
arenae magnitudinem habentis magnitudini seminis
papaueris aequalem maiorem non esse quam 10000
[II, 4], adparet, si sphaera diametrum habens digi-
talem arena compleatur, numerum arenae maiorem
non fore quam 640000000. hic autem est sex uni-
tates secundorum numerorum, et quattuor millia my-
riadum primorum. quare minor est quam decem
unitates secundorum numerorum. sphaera autem dia-
metrum habens centum digitos longam centum myria-
dibus multiplex est quam sphaera diametrum digita-
lem habens, quia sphaerae inter se triplicem rationem
habent quam diametri [Eucl. XII, 18]. si igitur ex
arena tanta sphaera efficitur, quanta est sphaera dia-
metrum habens centum digitos longam, adparet, nu-
merum arenae minorem fore numero multiplicatis de-

cum comp. *ον* F; corr. Wallis. *εἴη*] *ιν* F; corr. Wallis.
19. *μονάδες*] *μυριαδες* F; corr. A. 21. *τάν*] *των* F; corr. BC.
22. *σφαίρας*] scripsi; *εφη* F, uulgo; *ἐπί* Wallis, Torellius.
μυριαδεσιν F. 23. *διαμετρ* cum comp. *ον* F; corr. Wallis.
24. *τηλικαυτα* F; corr. Wallis. 27. *πολλαπλασθεισαν* F;
corr. ABC.

πλασιασθεισᾶν τᾶν δέκα μονάδων τῶν δευτέρων ἀριθ-
3 μῶν ταῖς ρ′ μυριάδεσσιν. ἐπεὶ δ' αἱ τῶν δευτέρων ἀριθμῶν δέκα μονάδες δέκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον ἐν τᾷ τῶν δεκαπλασίων ὅρων ἀναλογίᾳ, αἱ δὲ ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἀριθμὸς ἐσσεῖται τῶν ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἑκκαιδέκατος ἀπὸ μονάδος. δεδείκται γάρ, ὅτι ἑνὶ ἐλασσόνας ἀπέχει ἀπὸ τᾶς μονάδος, ἢ ὅσος ἐστὶν ὁ ἀριθμὸς συναμφοτέρων, οὓς ἀπέχοντι ἀπὸ μονάδος οἱ πολλαπλασιαξάντες ἀλλάλους. τῶν δὲ ἑκκαίδεκα τούτων ὀκτὼ μὲν οἱ πρώτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν δευτέρων, καὶ ὁ ἔσχατός ἐστιν αὐτῶν χιλίαι μυριάδες δευτέρων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ρ′ δακτύλων ἐχούσᾳ ἔλαττόν ἐστιν ἢ χιλίαι μυ-
4 ριάδες τῶν δευτέρων ἀριθμῶν. πάλιν δὲ καὶ ἁ σφαῖρα ἁ τῶν μυρίων δακτύλων ἔχουσα τὰν διάμετρον πολλαπλασία ἐστὶν τᾶς ἐχούσας τὰν διάμετρον ρ′ δακτύλων ταῖς ρ′ μυριάδεσσι. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ ἔχουσα σφαῖρα τὰν διάμετρον μυρίων δακτύλων, δῆλον, ὡς ἐλάσσων ἐσσεῖται ὁ τοῖ ψάμμου ἀριθμὸς τοῦ γενομένου πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν

2. *μυριαδεσιν* FVBD. *ἐπεί*] *επι* F; corr. Wallis. *δ' αἱ*] Gertzius; *δε* F, uulgo. 4. *τᾷ*] *τε* F; corr. Wallis. *δεκαπλασίων*] scripsi; *δεκαπλευρων* F, uulgo; defendit Nizzius (Quaest. Arch. p. 205); *δεκαπλῶν* Wallis, Torellius. *ἀναλογίᾳ*] *αναλογ* cum comp. *ον* F; corr. Wallis. 6. *ἀριθμός*] scripsi; *εκτος* F, uulgo; *ὅρος* Wallis, Torellius. 8. *ἑνί*] *εν* F; corr. Riualtus. 9. *ἀπέχει*] addidi; om. F, uulgo; post

cem unitatibus secundorum numerorum et centum myriadibus orto. et quoniam decem unitates secun- 3
dorum numerorum decimus ab unitate numerus est in proportione terminorum per decem crescentium, et centum myriades septimus est ab unitate in eadem proportione, adparet, productum fore sextum decimum ab unitate in eadem proportione. demonstratum est enim, id uno pauciora loca ab unitate abesse, quam quantus est numerus utrorumque locorum, quae numeri inter se multiplicati ab unitate absint [III, 6]. horum autem sedecim primi octo cum unitate ii sunt, qui primi uocantur, octo sequentes ii, qui secundi uocantur, et ultimus eorum mille myriades sunt secundorum numerorum. manifestum est igitur, multitudinem arenae magnitudinem habentis aequalem sphaerae diametrum centum digitos longam habenti minorem esse quam mille myriades secundorum numerorum. rursus autem etiam sphaera diametrum 4
habens decem millia digitorum longam centum myriadibus multiplex est quam sphaera diametrum habens centum digitos longam. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum decem millia digitorum longam habens, adparet, numerum arenae minorem fore numero multiplicatis mille myriadibus secundorum numerorum et centum myria-

---

μονάδος addidit Wallis. *ἢ ὅσος*] *ασσος* F; corr. Wallis. *ὁ ἀριθμός*] *ελαττων* F; corr. Wallis. *συναμφο δε* F; corr. Wallis. 10. *απεχωντι* F; corr. VB. 12. *τη* F; corr. Wallis. 14. *τῶν δευτέρων* Wallis, Torellius. 16. *τα τε ταν* F; corr. Wallis. 17. *εχουση* F; corr. Wallis. *ελαττ* cum comp. *ων* F; corr. Wallis. 21. *μυριαδεσι* F; corr. B. 24. *γενωμενον* F.

δευτέρων ἀριθμῶν ταῖς ρ′ μυριάδεσσιν. ἐπεὶ δ’ αἱ μὲν τῶν δευτέρων ἀριθμῶν χιλίαι μυριάδες ἑκκαιδέκατός ἐστιν ἀριθμὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ′ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐν τᾷ αὐτᾷ ἀναλογίᾳ, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται δυοκαιεικοστὸς τῶν

5 ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπὸ μονάδος. τῶν δὲ δύο καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων καλουμένων, οἱ δὲ λοιποὶ ἓξ τῶν τρίτων καλουμένων. καὶ ὁ ἔσχατος αὐτῶν ἐστι δέκα μυριάδες τῶν τρίτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ· τᾷ τὰν διάμετρον ἐχούσᾳ μυρίων δακτύλων ἔλασσόν ἐστιν ἢ ι′ μυριάδες τρίτων ἀριθμῶν. καὶ ἐπεὶ ἐλάσσων ἐστὶν ἁ σταδιαίαν ἔχουσα τὰν διάμετρον σφαῖρα τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον μυρίων δακτύλων, δῆλον, ὅτι καὶ τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδιαίαν ἔλασσόν ἐστιν ἢ ι′ μυριάδες

6 τῶν τρίτων ἀριθμῶν. πάλιν δὲ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον ρ′ σταδίων πολλαπλασίων ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδιαίαν ταῖς ρ′ μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ ἔχουσα τὰν διάμετρον ρ′ σταδίων, δῆλον, ὅτι ἐλάσσων ἐσσεῖται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μυριάδων τρίτων ἀριθμῶν ταῖς

3. ἀνάλογον αἱ] αναλογιαι F; corr. Wallis. 4. αυτη F; corr. B. ἐκ τᾶς αὐτᾶς ἀναλογίας Gertzius. 5. ὡς] ω F. 8. μετὰ τούτους] scripsi; μετα τους F, uulgo; μετ’ αὐτούς Wallis, Torellius. 9. τῶν] (prius) addidi; om. F, uulgo. ἓξ] εκ F;

dibus orto. sed quoniam mille myriades secundorum numerorum sextus decimus ab unitate numerus est in proportione, et centum myriades septimus est ab unitate in eadem proportione, adparet, productum uicesimum secundum ab unitate fore in eadem proportione. horum autem uiginti duorum primi octo cum unitate 5
ii sunt, qui primi uocantur, octo autem sequentes ii, qui secundi uocantur, reliqui autem sex ex iis, qui tertii uocantur; et ultimus eorum est centum millia tertiorum numerorum. manifestum est igitur, multitudinem arenae magnitudinem habentis aequalem sphaerae diametrum habenti decem millia digitorum longam minorem esse quam centum millia tertiorum numerorum. et quoniam sphaera diametrum habens stadium longam minor est sphaera diametrum habenti decem millia digitorum longam[1]), adparet, etiam multitudinem arenae magnitudinem habentis aequalem sphaerae diametrum habenti stadium longam minorem esse quam centum millia tertiorum numerorum. rursus 6
autem sphaera diametrum centum stadia longam habens centum myriadibus multiplex est quam sphaera diametrum stadium longam habens. si igitur ex arena tanta sphaera colligitur, quanta est sphaera diametrum centum stadia longam habens, adparet, numerum arenae minorem fore numero decem myriadibus tertiorum numerorum et centum myriadibus multiplicatis orto.

1) Heron. defin. 131: τὸ στάδιον ἔχει . . . δακτύλους ͵θχʹ.

corr. Wallis. 10. τρίτων] τρι cum comp. ων F; corr. B. 12. μεγεθους F; corr. B. 20. δέ] scripsi; δη F, uulgo. 23. μυριαδεσιν F; corr. B. 24. ἁ] om. F; corr. Wallis.

ρ' μυριάδεσσι. καὶ ἐπεὶ αἱ μὲν τῶν τρίτων ἀριθμῶν δέκα μυριάδες δυοκαιεικοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ' μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται ὀκτωκαιεικοστὸς ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἀπὸ μονάδος. τῶν δὲ ὀκτὼ καὶ εἴκοσι τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τρίτων, οἱ δὲ λοιποὶ τέσσαρες τῶν τετάρτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χιλίαι μονάδες τῶν τετάρτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων ρ' ἔλασσόν ἐστιν ἢ χιλίαι μονάδες τῶν τετάρτων ἀριθμῶν.

7 πάλιν δὲ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον μυρίων σταδίων πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων ρ' ταῖς ρ' μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυρίων, δῆλον, ὅτι ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μονάδων τῶν τετάρτων ἀριθμῶν ταῖς ρ' μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν τετάρτων ἀριθμῶν χιλίαι μονάδες ὀκτωκαιεικοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δ' ἑκατὸν μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας τέταρτος καὶ τριακοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσάρων καὶ

15. *δέ*] scripsi; *δη* F, uulgo. *μυρίων — διάμετρον* lin. 17 repetuntur in F; expunxit manus 1. 17. *μυριαδεσιν* F; corr. B. 19. *διαμετρ* cum comp. *ων* F; corr. BC. 20. *ελασσ*

et quoniam decem myriades tertiorum numerorum uicesimus secundus ab unitate numerus est in proportione, et centum myriades septimus est ab unitate in eadem proportione, adparet, productum fore duodetricesimum ab unitate in eadem proportione. horum autem uiginti octo primi octo cum unitate ii sunt, qui primi uocantur, octo autem sequentes ii, qui secundi uocantur, et octo deinde sequentes ii, qui tertii uocantur, reliqui autem quattuor ex iis, qui quarti uocantur, et ultimus eorum mille unitates sunt quartorum numerorum. manifestum est igitur, multitudinem arenae magnitudinem habentis aequalem sphaerae diametrum habenti centum stadia longam minorem esse quam mille unitates quartorum numerorum. rur- 7
sus autem sphaera diametrum decem millia stadiorum longam habens centum myriadibus multiplex est quam sphaera diametrum centum stadia longam habens. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum decem millia stadiorum longam habens, adparet, numerum arenae minorem fore numero mille unitatibus quartorum numerorum et centum myriadibus multiplicatis orto. quoniam autem mille unitates quartorum numerorum duodetricesimus est ab unitate numerus in proportione, et centum myriades septimus ab unitate in eadem proportione, adparet, productum fore tricesimum quartum ab unitate in eadem proportione. horum autem triginta quattuor

cum comp. ων F. 23. μυριαδεσιν F; corr. B. 25. μαδος F. 26. δῆλον — ἀναλογίας mg. F, signo adposito, cui respondet aliud post ἀναλογίας lin. 27.

τριάκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τᾶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, καὶ οἱ μετὰ τούτους ὀκτὼ τῶν τετάρτων, οἱ δὲ λοιποὶ δύο τῶν πέμπτων καλουμένων ἐσσοῦνται, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι δέκα μονάδες τῶν πέμπτων ἀριθμῶν. δῆλον οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυρίων ἔλασσον ἐσσείται ἢ ι′ μονάδες
8 τῶν πέμπτων ἀριθμῶν. πάλιν δὲ ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων ρ′ μυριάδων πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς τὰν διάμετρον ἐχούσας σταδίων μυρίων ταῖς ρ′ μυριάδεσσι. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων ρ′ μυριάδων, δῆλον, ὡς ἐλάσσων ἐσσείται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν δέκα μονάδων τῶν πέμπτων ἀριθμῶν ταῖς ρ′ μυριάδεσσιν. καὶ ἐπεὶ αἱ μὲν τῶν πέμπτων ἀριθμῶν δέκα μονάδες τέταρτός ἐστι καὶ τριακοστὸς ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ′ μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἐσσεῖται τετρωκοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσαράκοντα τούτων ὀκτὼ μὲν οἱ πρῶτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, οἱ δὲ μετὰ ταῦτα ἄλλοι ὀκτὼ τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ὀκτὼ τῶν τετάρτων, οἱ δὲ μετὰ τούτους ὀκτὼ τῶν πέμπτων καλουμένων, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χιλίαι μυριάδες

3. οι αλλοι F; corr. ed. Basil. 6. μοναδ cum comp. ων F; corr. B. 8. μεγεθους F; corr. BC. 9. ελασσ cum comp.

primi octo cum unitate ii sunt, qui primi uocantur, octo sequentes ii, qui secundi, octo deinde sequentes ii, qui tertii, octo deinde sequentes ii, qui quarti uocantur, et reliqui duo ex iis erunt, qui quinti uocantur, et ultimus eorum est decem unitates quintorum numerorum. adparet igitur, multitudinem arenae magnitudinem habentis aequalem sphaerae diamètrum habenti decem millia stadiorum longam minorem fore
quam decem unitates quintorum numerorum. rursus 8
autem sphaera diametrum centum myriades stadiorum longam habens centum myriadibus multiplex est quam sphaera diametrum habens decem millia stadiorum longam. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum centum myriades stadiorum longam habens, adparet, numerum arenae minorem fore numero multiplicatis decem unitatibus quintorum numerorum et centum myriadibus orto. et quoniam decem unitates quintorum numerorum tricesimus quartus est ab unitate numerus in proportione, et centum myriades septimus ab unitate in eadem proportione, adparet, productum fore quadragesimum ab unitate in eadem proportione. horum autem quadraginta primi octo cum unitate ii sunt, qui primi uocantur, octo sequentes ii, qui secundi, octo deinde sequentes ii, qui tertii, octo deinde sequentes ii, qui quarti, postremi octo ii, qui quinti uocantur, et ultimus eorum est mille myriades quintorum numerorum.

ων F; corr. AB. 10. *δέ*] scripsi; *δη* F, uulgo. 11. *μυριαδας* F, ut uidetur, in rasura; corr. ed. Basil. 12. *τᾶς τάν*] scripsi; *ταν* F, uulgo. 18. *μυριάδεσσιν*] scripsi; *μυριασιν* F, uulgo. 24. *τᾷ*] *το* F; corr. manus 2. 25. *καμενων*, FC ed. Basil.; corr. F manu 2. *ταῦτα*] *τούτους* Wallis, Torellius.

τῶν πέμπτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων ρ' μυριάδων ἔλασσόν ἐστιν ἢ χιλίαι μυριάδες τῶν πέμπτων ἀριθμῶν.

9 *ἁ δὲ τὰν διάμετρον ἔχουσα σφαῖρα σταδίων μυριᾶν μυριάδων πολλαπλασίων ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων ρ' μυριάδων ταῖς ρ' μυριάδεσσιν. εἰ δὴ γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριᾶν μυριάδων, φανερόν, ὅτι ἔλασσον ἐσσεῖται τὸ τοῦ ψάμμου πλῆθος τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μυριάδων τῶν πέμπτων ἀριθμῶν ταῖς ρ' μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν πέμπτων ἀριθμῶν χιλίαι μυριάδες τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ' μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὡς ὁ γενόμενος ἐσσεῖται ἕκτος καὶ τετρωκοστὸς ἀπὸ μονάδος. τῶν δὲ τεσσαράκοντα καὶ ἓξ τούτων ὀκτὼ μὲν οἱ πρώτοι σὺν τᾷ μονάδι τῶν πρώτων καλουμένων ἐντί, ὀκτὼ δὲ οἱ μετὰ τούτους τῶν δευτέρων, καὶ οἱ μετὰ τούτους ἄλλοι ὀκτὼ τῶν τρίτων, οἱ δὲ μετὰ τοὺς τρίτους ἄλλοι ὀκτὼ τῶν τετάρτων, καὶ οἱ μετὰ τοὺς τετάρτους ὀκτὼ τῶν πέμπτων, οἱ δὲ λοιποὶ ἓξ τῶν ἕκτων καλουμένων ἐντί, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι ι' μυριάδες τῶν ἕκτων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ*

---

3. *μυριαδες* F; corr. Wallis. *ελασσ* cum comp. *ων* F; corr. V. 5. *σφαιρ* cum comp. *ας* F; corr. manus 2 et B. *μυριας* F; corr. Wallis. 7. *μυριαδεσιν* F; corr. B. 8. *δή*] scripsi; *δε* F, uulgo; *οὖν* Wallis, Torellius. 10. *μυριας* F; corr. Wallis. *ελασσ* cum comp. *ων* F, ed. Basil. 12. *πολλαπλασι* cum comp. *ον* F; corr. B. 13. *μυριάδεσσιν*] scripsi;

manifestum est igitur, numerum arenae magnitudinem habentis aequalem sphaerae diametrum habenti centum myriades stadiorum longam minorem esse quam
mille myriades quintorum numerorum. sphaera autem 9
diametrum habens decem millia myriadum stadiorum longam centum myriadibus multiplex est quam sphaera diametrum habens centum myriades stadiorum longam. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum habens decem millia myriadum stadiorum longam, manifestum est, numerum arenae minorem fore numero multiplicatis mille myriadibus quintorum numerorum et centum myriadibus orto. quoniam autem mille myriades quintorum numerorum quadragesimus ab unitate numerus est in proportione, et centum myriades septimus ab unitate in eadem proportione, adparet, productum fore quadragesimum sextum ab unitate. horum autem quadraginta sex primi octo cum unitate ii sunt, qui primi uocantur, octo sequentes ii, qui secundi, octo autem deinde sequentes ii, qui tertii, octo autem tertios sequentes ii, qui quarti, octo autem quartos sequentes ii, qui quinti uocantur, sex autem reliqui ex iis sunt, qui sexti uocantur, et ultimus eorum est decem myriades sextorum numerorum. manifestum est igitur, numerum arenae magnitudinem habentis aequalem

---

μυριασιν F, uulgo. 14. *τετρακοστος* F, uulgo, ut lin. 17. 17. *ἐσσεῖται ἐκ τᾶς αὐτᾶς ἀναλογίας ἕκτος* Gertzius. 18. *ὀκτὼ μέν*] *ειμεν* F; corr. Wallis; *οἱ μὲν ὀκτώ* B. 21. *μετα τους* F; corr. CV. 23. *ἕξ*] om. F; corr. Wallis. 24. *αυτ* cum comp. *ος* F; corr. B. 25. *μοιριαδων* F; *μυριαδων* uulgo; corr. Wallis.

τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάδων μυριᾶν ἔλασ-
10 σόν ἐστιν ἢ ι' μυριάδες τῶν ἕκτων ἀριθμῶν. ἁ δὲ τὰν διάμετρον ἔχουσα σφαῖρα σταδίων μυριάκις μυριάδων ρ' πολλαπλασία ἐστὶ τᾶς σφαίρας τᾶς ἐχούσας τὰν διάμετρον σταδίων μυριάδων μυριᾶν ταῖς ρ' μυριάδεσσιν. εἰ οὖν γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκα ἐστὶν ἁ σφαῖρα ἁ ἔχουσα τὰν διάμετρον σταδίων μυριάκις μυριάδων ρ', φανερόν, ὅτι τὸ τοῦ ψάμμου πλῆθος ἔλασσον ἐσσεῖται τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν ι' μυριάδων τῶν ἕκτων ἀριθμῶν ταῖς ρ' μυριάδεσσιν. ἐπεὶ δ' αἱ μὲν τῶν ἕκτων ἀριθμῶν δέκα μυριάδες ἕκτος καὶ τετρωκοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ ρ' μυριάδες ἕβδομος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσεῖται δυοκαιπεντακοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας. τῶν δὲ δύο καὶ πεντήκοντα τούτων οἱ μὲν ὀκτὼ καὶ τεσσαράκοντα σὺν τᾷ μονάδι οἵ τε πρῶτοι καλουμένοι ἐντὶ καὶ οἱ δευτέροι καὶ τρίτοι καὶ τετάρτοι καὶ πέμπτοι καὶ ἕκτοι, οἱ δὲ λοιποὶ τέσσαρες τῶν ἑβδόμων καλουμένων ἐντί, καὶ ὁ ἔσχατος αὐτῶν ἐστι χιλίαι μονάδες τῶν ἑβδόμων ἀριθμῶν. φανερὸν οὖν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ τᾷ τὰν διάμετρον ἐχούσᾳ σταδίων μυριάκις μυριάδων ρ' ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν.
11 ἐπεὶ οὖν ἐδείχθη ἁ τοῦ κόσμου διάμετρος ἐλάσσων

---

1. μυριάδων μυριᾶν] scripsi; μυριακις μυριαδων μυριων F, uulgo; μυριάκις μυρίων Wallis, Torellius. ελασσ cum comp. ων F; corr. Riualtus. 3. εχουσας F; corr. BC. 5. μυριάδων μυριᾶν] scripsi; μυριαδας (comp. ας) μυριας (comp. ας) F, uulgo; μυριάκις μυρίων Wallis, Torellius. μυριαδεσιν F; corr. B. 10. πολλαπλασι cum comp. ων F; corr. B. μυρια-

sphaerae diametrum habenti decem millia myriadum stadiorum longam minorem esse quam decem myriades sextorum numerorum. sphaera autem diametrum 10
habens decies centena millia myriadum stadiorum longam centum myriadibus multiplex est quam sphaera diametrum habens decem millia myriadum stadiorum longam. si igitur ex arena tanta sphaera efficitur, quanta est sphaera diametrum habens decies centena millia myriadum stadiorum longam, manifestum est, numerum arenae minorem fore numero multiplicatis decem myriadibus sextorum numerorum et centum myriadibus orto. quoniam autem decem myriades sextorum numerorum quadragesimus sextus est ab unitate numerus in proportione, et centum myriades septimus est ab unitate in eadem proportione, adparet, productum fore quinquagesimum secundum ab unitate in eadem proportione. horum autem quinquaginta duorum primi quadraginta octo cum unitate ii sunt, qui primi, secundi, tertii, quarti, quinti, sexti uocantur, reliqui autem quattuor ex iis sunt, qui septimi uocantur, et ultimus eorum est mille unitates septimorum numerorum. manifestum est igitur, numerum arenae magnitudinem habentis aequalem sphaerae diametrum habenti decies centena millia myriadum stadiorum longam minorem esse quam mille unitates septimorum numerorum. iam quoniam demonstratum 11
est, diametrum mundi minus quam decies centena

δαν F; corr. B. 11. *ταν ϱ μυϱιαδες* F; corr. Wallis. 13. *τεσσαϱακοστος* F, uulgo. 15. *δυοκαιπεντηκοστος* F; corr. ed. Basil. 20. *καλουμένων* ad *ἑβδόμων* lin. 22 repetuntur in F; expunxit manus 1. 24. *τάν*] *των* per comp. F; corr. VB. 25. *ελασσ* cum comp. *ων* F; corr. V.

ἐοῦσα σταδίων μυριάκις μυριάδων ρ΄, δῆλον, ὅτι καὶ τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν. ὅτι μὲν οὖν τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ ὑπὸ τῶν πλείστων ἀστρολόγων καλουμένῳ κόσμῳ ἔλασσόν ἐστιν ἢ ͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν, δεδείκται. ὅτι δὲ καὶ τὸ πλῆθος τοῦ ψάμμου τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ σφαίρᾳ ταλικαύτᾳ, ἁλίκαν Ἀρίσταρχος ὑποτιθέται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶμεν, ἔλασσόν ἐστιν ἢ ͵α μυ-
12 ριάδες τῶν ὀγδόων ἀριθμῶν, δειχθησέται. ἐπεὶ γὰρ ὑποκείται, τὰν γᾶν τὸν αὐτὸν ἔχειν λόγον ποτὶ τὸν ὑφ᾽ ἁμῶν εἰρημένον κόσμον, ὃν ἔχει λόγον ὁ εἰρημένος κόσμος ποτὶ τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν, ἃν Ἀρίσταρχος ὑποτιθέται, καὶ αἱ διαμέτροι τᾶν σφαιρᾶν τὸν αὐτὸν ἔχοντι λόγον ποτ᾽ ἀλλάλας, ἁ δὲ τοῦ κόσμου διάμετρος τᾶς διαμέτρου τᾶς γᾶς δεδείκται ἐλάσσων ἐοῦσα ἢ μυριοπλασίων, δῆλον οὖν, ὅτι καὶ ἁ διάμετρος τᾶς τῶν ἀπλανέων ἄστρων σφαίρας ἐλάσσων ἐστὶν ἢ μυριοπλασίων τᾶς διαμέτρου τοῦ κόσμου. ἐπεὶ δὲ αἱ σφαίραι τριπλάσιον λόγον ἔχοντι ποτ᾽ ἀλλάλας τᾶν διαμέτρων, φανερόν, ὅτι ἁ τῶν ἀπλανέων ἄστρων σφαῖρα, ἃν Ἀρίσταρχος ὑποτιθέται, ἐλάττων ἐστιν ἢ μυριάκις μυρίαις μυριάδεσσι πολλαπλασίων
13 τοῦ κόσμου. δεδείκται δέ, ὅτι τὸ τοῦ ψάμμου πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τῷ κόσμῳ ἔλασσόν ἐστιν ἢ

---

1. μυριων F mg., B mg. 4. οὖν] scripsi; ομοιως post lacunam 6 litterarum F, uulgo. 10. ελασσ cum comp. ων F; corr. AB. 12. ποτὶ τόν] ποτι των (comp.) FV; corr. V eadem manu, BC. 16. σφαιρ cum comp. ων F; corr. BC. εχωντι F; corr. BV. ποτ᾽ αλλας F; corr. B. 18. μυριοπλασιαν F; corr. Wallis; μυριοπλασία B, V e correctione. 21. ἐπεὶ δέ]

millia myriadum stadiorum longam esse [II, 1], ad-
paret, etiam numerum arenae magnitudinem habentis
aequalem mundo minorem esse quam mille unitates
septimorum numerorum. itaque demonstratum est,
numerum arenae magnitudinem habentis aequalem
mundo, qualis a plerisque astrologis fingatur, minorem
esse quam mille unitates septimorum numerorum.
restat autem, ut demonstremus, etiam numerum arenae
magnitudinem habentis aequalem tali sphaerae, qua-
lem Aristarchus stellarum fixarum sphaeram esse sup-
ponat, minorem esse quam mille myriades octauorum
numerorum. nam quoniam suppositum est, terram 12
ad mundum, qualis uulgo a nobis fingatur, eam ratio-
nem habere, quam idem ille mundus habeat ad sphae-
ram stellarum fixarum, quam Aristarchus supponat
[I, 6], et diametri sphaerarum eandem inter se ratio-
nem habent [Eucl. XII, 18], et demonstratum est,
diametrum mundi minorem esse diametro terrae de-
cies millies sumpta [II, 2], adparet, etiam diametrum
sphaerae stellarum fixarum minorem esse diametro
mundi decies millies sumpta. quoniam autem sphae-
rae triplicem inter se rationem habent, quam diametri
[Eucl. XII, 18], manifestum est, sphaeram stellarum
fixarum, quam Aristarchus supponat, minorem esse
mundis 1000000000000. et demonstratum est, nume- 13
rum arenae magnitudinem habentis mundo aequalem
minorem esse quam mille unitates septimorum nume-

επειδη F; corr. Wallis. εχωντι F; corr. BV. 24. μυρίαις] scripsi; om. F, uulgo; μυριάδων AC, coni. Riualtus, Wallis, Torellius. 25. ὅτι] om. F; corr. Riualtus. 26. ελασσ cum comp. ων F; corr. B mg.

͵α μονάδες τῶν ἑβδόμων ἀριθμῶν. δῆλον οὖν, ὅτι, εἰ γένοιτο ἐκ τοῦ ψάμμου σφαῖρα ταλικαύτα τὸ μέγεθος, ἁλίκαν ὁ Ἀρίσταρχος ὑποτιθέται τὰν τῶν ἀπλανέων ἄστρων σφαῖραν εἶμεν, ἐλάσσων ἐσσείται ὁ τοῦ ψάμμου ἀριθμὸς τοῦ γενομένου ἀριθμοῦ πολλαπλασιασθεισᾶν τᾶν χιλιᾶν μονάδων ταῖς μυριάκις μυρίαις μυριάδεσσιν. καὶ ἐπεὶ αἱ μὲν τῶν ἑβδόμων ͵α μονάδες δυοκαιπεντακοστός ἐστιν ἀπὸ μονάδος ἀνάλογον, αἱ δὲ μυριάκις μυρίαι μυριάδες τρισκαιδέκατος ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας, δῆλον, ὅτι ὁ γενόμενος ἐσσείται τέταρτος καὶ ἑξηκοστὸς ἀπὸ μονάδος ἐκ τᾶς αὐτᾶς ἀναλογίας. οὗτος δέ ἐστι τῶν ὀγδόων ὄγδοος, ὅς κα εἴη χιλίαι μυριάδες τῶν ὀγδόων ἀριθμῶν. φανερὸν τοίνυν, ὅτι τοῦ ψάμμου τὸ πλῆθος τοῦ μέγεθος ἔχοντος ἴσον τᾷ τῶν ἀπλανέων ἄστρων σφαίρᾳ, ἂν Ἀρίσταρχος ὑποτιθέται, ἔλασσόν ἐστιν ἢ ͵α μυριάδες τῶν ὀγδόων
14 ἀριθμῶν. ταῦτα δέ, βασιλεῦ Γέλων, τοῖς μὲν πολλοῖς καὶ μὴ κεκοινωνηκότεσσι τῶν μαθημάτων οὐκ εὔπιστα φανήσειν ὑπολαμβάνω, τοῖς δὲ μεταλελαβηκότεσσιν καὶ περὶ τῶν ἀποστημάτων καὶ τῶν μεγεθέων τᾶς τε γᾶς καὶ τοῦ ἁλίου καὶ τᾶς σελήνας καὶ τοῦ ὅλου κόσμου πεφροντικότεσσιν πιστὰ διὰ τὰν ἀπόδειξιν ἐσσείσθαι. διόπερ ᾠήθην κα καὶ τὶν οὐκ ἀναρμοστεῖν [ἔτι] ἐπιθεωρῆσαι ταῦτα.

---

4. εσειται F. 5. πολλαπλασιαν F; corr. B. χιλι cum comp. ων F; corr. B. 6. μονάδων τῶν ἑβδόμων ἀριθμῶν B, Wallis, Torellius, Gertzius. 7. ἑβδόμων ἀριθμῶν B, Riualtus, Wallis, Torellius, Gertzius. 8. αἱ] om. F; corr. Wallis. 12. ὅς κα εἴη] scripsi; και πεντα F, ed. Basil.; καὶ πεντάκις uulgo; καί Wallis, Torellius; ὃς καί ἐστιν αἱ Gertzius. 14. τᾷ] om. F; corr. Wallis. 23. κα καί] Maduigius; και F, uulgo. τίν] τινας F, uulgo; corr. Gomperz. ἀναρμοστεῖν] Maduigius; αναρμοστον ειη F, uulgo; ἀνάρμοστον εἶμεν Gomperz. ἔτι] delet Gomperz. In fine Αρχιμηδους ψαμμιτης F.

rorum [§. 11]. adparet igitur, si ex arena tanta sphaera efficiatur, quantam Aristarchus supponat sphaeram stellarum fixarum esse, numerum arenae minorem fore numero multiplicatis mille unitatibus [septimorum numerorum] et 1000000000000 orto. quoniam autem mille unitates septimorum [numerorum] quinquagesimus secundus est ab unitate numerus in proportione, et 1000000000000 tertius decimus est ab unitate in eadem proportione, adparet, productum fore sexagesimum quartum ab unitate in eadem proportione numerum. is autem octauus est numerorum octauorum, qui est mille myriades numerorum octauorum. manifestum est igitur, numerum arenae magnitudinem habentis aequalem sphaerae stellarum fixarum, quam supponat Aristarchus, minorem esse quam mille myriades octauorum numerorum. haec autem, rex Gelo, 14
uulgo hominum mathematices imperito incredibilia uisum iri puto, peritis uero, qui distantias et magnitudines terrae et solis et lunae et totius mundi cognouerint, credibilia propter demonstrationem fore. quare putaui, tibi quoque conuenire haec cognoscere.

QUADRATURA PARABOLAE.

Τετραγωνισμὸς παραβολῆς.

Ἀρχιμήδης Δοσιθέῳ εὖ πράττειν.

Ἀκούσας Κόνωνα μὲν τετελευτηκέναι, ὃς ἦν ἔτι βλέπων ἡμῖν ἐν φιλίᾳ, τὶν δὲ Κόνωνος γνώριμον γεγενῆσθαι καὶ γεωμετρίας οἰκεῖον εἶμεν τοῦ μὲν τετελευτηκότος εἵνεκεν ἐλυπήθημες ὡς καὶ φίλου τοῦ ἀνδρὸς γεναμένου καὶ ἐν τοῖς μαθημάτεσσι θαυμαστοῦ τινος, ἐπροχειριξάμεθα δὲ ἀποστεῖλαι τοι γραψάντες, ὡς Κόνωνι γράφειν ἐγνωκότες ἦμες, γεωμετρικὸν θεώρημά τι, ὃ πρότερον μὲν οὐκ ἦν τεθεωρημένον, νῦν δὲ ὑφ' ἡμῶν τεθεωρήται, πρότερον μὲν διὰ μηχανικῶν εὑρεθέν, ἔπειτα δὲ καὶ διὰ τῶν γεωμετρικῶν ἐπιδειχθέν. τῶν μὲν οὖν πρότερον περὶ γεωμετρίαν πραγματευθέντων ἐπεχείρησάν τινες γράφειν ὡς δυνατὸν ἐὸν κύκλῳ τῷ δοθέντι καὶ κύκλου τμάματι τῷ δοθέντι χωρίον εὑρεῖν εὐθύγραμμον ἴσον· καὶ μετὰ ταῦτα τὸ περιεχόμενον χωρίον ὑπό τε τᾶς ὅλου τοῦ κώνου τομᾶς καὶ εὐθείας τετραγωνίζειν ἐπειρῶντο λαμβανόντες οὐκ εὐπαραχώρητα λήμματα, ὥστε αὐτοῖς

4. βλέπων] scripsi; λειπων F, uulgo; λοιπός Torellius. φίλοις Torellius. τίν] scripsi; τινα F, uulgo; τένη Torellius. 6. ελυπηθημεν F, uulgo. 7. μαθημασι F, uulgo. 8. τοι] om. F; corr. Torellius. 9. εἰωθότες Torellius. ειμεν F, uulgo; ἦμεν Torellius. γεωμετρικὸν θεώρημά τι] scripsi; γεωμετρικων θεωρηματων F, uulgo. 13. οὖν] addidi; om. F, uulgo. 15. τμηματι F; corr. Torellius. 17. ὅλου] cor-

Quadratura parabolae.[1])

Archimedes Dositheo s.

Cum audiuissem, Cononem mortuum esse, qui, dum uixit, nobis amicitia coniunctus erat, te autem Cononi familiarem fuisse et geometriae esse peritum, demortui causa dolore adfecti sumus, quippe qui et amicus et in mathematicis admirabili acumine praeditus esset, suscepimus autem ad te per litteras, sicuti ad Cononem mittere constitueramus, geometricum theorema quoddam mittere, quod antea perspectum non erat, nunc uero a nobis perspectum est, prius per mechanica inuentum, postea autem etiam per geometrica demonstratum. eorum enim, qui antea in geometria uersati sunt, quidam[2]) conati sunt scribere, fieri posse, ut spatium rectilineum inueniretur dato circulo et dato circuli segmento aequale; et deinde spatium totius† coni sectione et linea recta comprehensum quadrare conabantur lemmata minime manifesta adsumentes; quare plerique agno-

1) Archimedes sine dubio hunc librum inscripserat περὶ τῆς τοῦ ὀρθογωνίου κώνου τομῆς, ut habet Eutocius ad pl. aeq. II, 8.

2) De circuli quadratura egerant praeter alios Antiphon, Bryson, Hippias, Hippocrates.

ruptum; Quaest. Arch. p. 149. 19. ὥστε] scripsi; οπερ F, uulgo; διόπερ Torellius. αὐτοί—εὑρισκόμενοι Torellius.

ὑπὸ τῶν πλείστων οὐκ εὑρισκόμενα ταῦτα κατεγνώσθεν. τὸ δὲ ὑπ' εὐθείας τε καὶ ὀρθογωνίου κώνου τομᾶς τμᾶμα περιεχόμενον οὐδένα τῶν προτέρων ἐγχειρήσαντα τετραγωνίζειν ἐπιστάμεθα, ὃ δὴ νῦν ὑφ' ἡμῶν εὑρήται. δεικνύται γάρ, ὅτι πᾶν τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς ἐπίτριτόν ἐστι τοῦ τριγώνου τοῦ βάσιν ἔχοντος τὰν αὐτὰν καὶ ὕψος ἴσον τῷ τμάματι λαμβανομένου τοῦδε τοῦ λήμματος ἐς τὰν ἀπόδειξιν αὐτοῦ· τῶν ἀνίσων χωρίων τὰν ὑπεροχάν, ᾇ ὑπερέχει τὸ μεῖζον τοῦ ἐλάσσονος, δυνατὸν εἶμεν αὐτὰν ἑαυτᾷ συντιθεμέναν παντὸς ὑπερέχειν τοῦ προτεθέντος πεπερασμένου χωρίου. κεχρήνται δὲ καὶ οἱ πρότερον γεωμέτραι τῷδε τῷ λήμματι. τούς τε γὰρ κύκλους διπλασίονα λόγον ἔχειν ποτ' ἀλλάλους τᾶν διαμέτρων ἀποδεδείχασιν αὐτῷ τούτῳ τῷ λήμματι χρωμένοι, καὶ τὰς σφαίρας ὅτι τριπλασίονα λόγον ἔχοντι ποτ' ἀλλάλας τᾶν διαμέτρων, ἔτι δὲ καὶ ὅτι πᾶσα πυραμὶς τρίτον μέρος ἐστὶ τοῦ πρίσματος τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τᾷ πυραμίδι καὶ ὕψος ἴσον· καὶ διότι πᾶς κῶνος τρίτον μέρος ἐστὶ τοῦ κυλίνδρου τοῦ τὰν αὐτὰν βάσιν ἔχοντος τῷ κώνῳ καὶ ὕψος ἴσον, ὁμοῖον τῷ προειρημένῳ λῆμμα τι λαμβανόντες ἐγράφον. συμβαίνει δὲ τῶν προειρημένων θεωρημάτων ἕκαστον μηδὲν ἧσσον τῶν ἄνευ τούτου τοῦ λήμματος ἀποδεδειγμένων πεπιστευκέναι. ἄρτι δὲ ἐς τὰν ὁμοίαν πίστιν τούτοις ἀναγμένων τῶν ὑφ' ἡμῶν

2. *δὲ ὑπ' εὐθείας*] om. F; corr. Torellius. 3. *τμημα* F; corr. Torellius, ut lin. 5, 8. *προτέρων*] scripsi; *πρωτων* F, uulgo. 11. *ἑαυτᾷ*] addidi; om. F, uulgo. 14. *ποτ'*] *προς* per comp. F; corr. V (*ποτί*). 15. *αλληλους* F; corr. V. *των* per comp. F; corr. Torellius. *τούτῳ*] addidi; om. F, uulgo. 17. *προς* per comp. F; corr. Torellius (*ποτί*). *αλ-*

uerunt, haec ab iis inuenta non esse. segmentum autem linea recta et sectione coni rectanguli comprehensum neminem ex prioribus quadrare conatum esse scimus; id quod iam a nobis inuentum est. demonstramus enim, quoduis segmentum linea recta et sectione coni rectanguli comprehensum tertia parte maius esse triangulo basim eandem habenti quam segmentum et altitudinem aequalem, hoc ad demonstrationem adsumpto lemmate[1]), spatiorum inaequalium excessum, quo maius excedat minus, sibi ipsum additum quoduis spatium datum terminatum excedere posse. sed priores quoque geometrae hoc lemmate usi sunt; nam circulos duplicem rationem habere inter se, quam diametri habent [Eucl. XII, 2], hoc ipso lemmate usi demonstrauerunt, et sphaeras triplicem inter se rationem habere, quam habent diametri [Eucl. XII, 18]; et porro quamuis pyramidem tertiam esse partem prismatis eandem basim habentis, quam pyramis, et altitudinem aequalem [Eucl. XII, 7], et quemuis conum tertiam esse partem cylindri eandem basim habentis, quam conus, et altitudinem aequalem [Eucl. XII, 10], demonstrabant lemma illi simile adsumentes. accidit autem, ut omnia illa theoremata non minus iis, quae sine hoc lemmate demonstrata sunt, confirmauerint. et cum ea, quae nunc

1) De hoc lemmate cfr. uol. I p. 11 not 1.

ληλας F; corr. V. 18. ὅτι] addidi; om. F, uulgo. μυραμις F. 20. διότι] δὴ ὅτι Torellius. 22. ὁμοῖον] scripsi; ομοι cum comp. ως F, uulgo. 23. ἐγράφον] F; εγγραφον uulgo. δέ] om. F; corr. Torellius. 24. μηδέν] scripsi; μηδεν cum comp. ος F, uulgo. 26. τούτοις] scripsi; τουτου F, uulgo; τούτων Torrellius. ἀναγμένων] scripsi; αναγμενον F, uulgo; ἀναγομένων Torelius.

ἐκδιδομένων ἀναγραψάντες οὖν αὐτοῦ τὰς ἀποδειξίας ἀποστέλλομες πρῶτον μέν, ὡς διὰ τῶν μηχανικῶν ἐθεωρήθη, μετὰ ταῦτα δὲ καί, ὡς διὰ τῶν γεωμετρουμένων ἀποδείκνυται. προγραφέται δὲ καὶ στοιχεῖα κωνικὰ χρεῖαν ἔχοντα ἐς τὰν ἀπόδειξιν. ἔρρωσο.

α′.

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομά, ἐφ' ἇς ἁ $AB\Gamma$, ᾖ δὲ ἁ μὲν $B\Delta$ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἁ δὲ $A\Gamma$ παρὰ τὰν κατὰ τὸ B ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἴσα ἐσσεῖται ἁ $A\Delta$ τᾷ $\Delta\Gamma$. κἂν ἴσα ᾖ ἁ $A\Delta$ τᾷ $\Delta\Gamma$, παραλλήλοι ἐσσοῦνται ἅ τε $A\Gamma$ καὶ ἁ κατὰ τὸ B ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς.



β′.

Εἴ κα ᾖ ὀρθογωνίου κώνου τομὰ ἁ $AB\Gamma$, ᾖ δὲ ἁ μὲν $B\Delta$ παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, ἁ δὲ $A\Delta\Gamma$ παρὰ τὰν κατὰ τὸ B ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἁ δὲ $E\Gamma$ τᾶς τοῦ κώνου τομᾶς ἐπιψαύουσα κατὰ τὸ Γ, ἐσσοῦνται αἱ $B\Delta$, BE ἴσαι.

1. *αποδειξεις αποστελλομεν* F, uulgo. 8. *ἁ μέν*] om. F; corr. ed. Basil. 10. *εσται* per comp. F, uulgo. $\Delta\Gamma$] $A\Gamma$ F. *ιση* F; corr. Torellius. 11. *τᾷ* $\Delta\Gamma$] om. F; corr. B. *αιτε* F; corr. B. 12. *επιψανουσαι* F; corr. B.

edimus, nuper ad eandem fidem perducta sint, demonstrationes eorum a nobis conscriptas mittimus, prius, quo modo per mechanica perspecta sint, deinde autem etiam, quo modo per geometrica demonstrentur; praemittuntur autem etiam conica elementa ad demonstrationem utilia. uale.

I.

Si data est sectio coni rectanguli, in qua est $AB\Gamma$, et linea $B\Delta$ diametro parallela est uel ipsa diametrus, $A\Gamma$ autem lineae in B sectionem coni contingenti parallela, erit



$$A\Delta = \Delta\Gamma.$$

et si $A\Delta = \Delta\Gamma$, linea $A\Gamma$ et linea in B sectionem coni contingens parallelae erunt [Apollon. I, 46].[1])

II.

Si $AB\Gamma$ sectio est coni rectanguli, et linea $B\Delta$ diametro parallela est uel ipsa diametrus, et linea $A\Delta\Gamma$ lineae in B sectionem coni contingenti parallela est, et linea $E\Gamma$ sectionem in puncto Γ contingit, erit $B\Delta = BE$ [Apollon. I, 35].[2])

---

1) Cfr. Zeitschr. f. Math., hist. Abth. XXV p. 51 nr. 14.
2) Cfr. ibid. p. 53 nr. 16.

γʹ.

Εἴ κα ἦ ὀρθογωνίου κώνου τομὰ ἁ *ΑΒΓ*, ἁ δὲ *ΒΔ* παρὰ τὰν διάμετρον ἢ αὐτὰ διάμετρος, καὶ ἀχθέωντί τινες αἱ *ΑΔ*, *ΕΖ* παρὰ τὰν κατὰ τὸ *Β* ἐπιψαύουσαν τᾶς τοῦ κώνου τομᾶς, ἐσσεῖται, ὡς ἁ *ΒΔ* ποτὶ τὰν *ΒΖ*, δυνάμει ἁ *ΑΔ* ποτὶ τὰν *ΕΖ*.



ἀποδεδείκται δὲ ταῦτα ἐν τοῖς κωνικοῖς στοιχείοις.

δʹ.

Ἔστω τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τὸ *ΑΒΓ*. ἁ δὲ *ΒΔ* ἀπὸ μέσας τᾶς *ΑΓ* παρὰ τὰν διάμετρον ἄχθω, ἢ αὐτὰ διάμετρος ἔστω, καὶ ἁ *ΒΓ* εὐθεῖα ἐπιζευχθεῖσα ἐκβεβλήσθω. εἰ δή κα ἀχθῇ τις ἄλλα ἁ *ΖΘ* παρὰ τὰν *ΒΔ* τέμνουσα τὰν διὰ τῶν *Α*, *Γ* εὐθεῖαν, τὸν αὐτὸν ἕξει λόγον ἁ *ΖΘ* ποτὶ τὰν *ΘΗ*, ὃν ἁ *ΔΑ* ποτὶ τὰν *ΔΖ*.

ἄχθω γὰρ δια τοῦ *Η* παρὰ τὰν *ΑΓ* ἁ *ΚΗ*. ἔστιν ἄρα, ὡς ἁ *ΒΔ* ποτὶ τὰν *ΒΚ* μάκει, οὕτως ἁ *ΔΓ* ποτὶ τὰν *ΚΗ* δυνάμει. ἀποδεδείκται γὰρ τοῦτο. ἐσσεῖται

---

2. ἦ] supra scriptum manu 1 F. *ορθογωνι* cum comp. *ον* F. *ἁ δέ*] *η δε* F; corr. Torellius. 3. *αυτα τα* F, uulgo; *τα* deleui; *αὐτὰ ἁ* B, Riualtus, Torellius. 4. *διαμετρω* F; corr. B. *αχθωσαν* FC; *ἀχθῶσι* uulgo. 5. *παρὰ τὰν κατὰ τὸ Β*] om. F; corr. B. 7. *ΒΔ μάκει* A, ed. Basil., Torellius. 8. *οὕτως δυνάμει* ed. Basil., Torellius. 10. *δέ*] scripsi; *δη* F, uulgo. 12. *τμημα* F, ut lin. 14: *αυτη*, lin. 16: *αλλη*, lin. 19: *ηχθω*; corr. Torellius. 16. *κα ἀχθῇ*] scripsi; *κατ-αχθειη* F, uulgo. 17. *ἑκατέραν τᾶν ΑΓ καὶ ΓΒ· εὐθεῖα* Torellius; *ἑκατέραν τᾶν αγβ εὐθειᾶν* mg. ed. Basil. 19. *Η*] *Ι* FV. 21. *ΚΗ*] *ΚΙ* F; corr. ed. Basil.

III.

Si $AB\Gamma$ sectio est coni rectanguli, et linea $B\Delta$ diametro parallela uel ipsa diametrus, et ducuntur lineae quaedam $A\Delta$, EZ lineae in B sectionem coni contingenti parallelae, erit $B\Delta : BZ = A\Delta^2 : EZ^2$.[1])

Haec autem in elementis conicis demonstrata sunt.[2])

IV.

Sit $AB\Gamma$ segmentum linea recta et sectione coni rectanguli comprehensum, et a media linea $A\Gamma$ ducatur $B\Delta$ diametro parallela, uel ipsa diametrus sit, et ducatur linea $B\Gamma$ et producatur.[3]) si igitur alia linea $Z\Theta$ lineae $B\Delta$ parallela ducitur, ita ut lineam per A, Γ ductam secet, erit $Z\Theta : \Theta H = \Delta A : \Delta Z$.

ducatur enim per punctum H linea KH lineae $A\Gamma$



parallela. erit igitur $B\Delta : BK = \Delta\Gamma^2 : KH^2$. hoc

1) Apollon. I, 20; Zeitschr. f. Math., hist. Abth. XXV p. 50 nr. 12.

2) In elementis conicis Aristaei et Euclidis; ibid. p. 42.

3) Respicitur ad fig. 2 solam, sed cfr. Zeitschr. f. Math. l. c. p. 58**.

ἄρα, ὡς ἁ ΒΓ ποτὶ τὰν ΒΙ μάκει οὕτως ἁ ΒΓ ποτὶ τὰν ΒΘ δυνάμει. ἀνάλογον ἄρα ἐντὶ αἱ ΒΓ, ΒΘ, ΒΙ γραμμαί· ὥστε τὸν αὐτὸν ἔχει λόγον ἁ ΒΓ ποτὶ τὰν ΒΘ, ὃν ἁ ΓΘ ποτὶ τὰν ΘΙ. ἔστιν ἄρα, ὡς ἁ ΓΔ ποτὶ τὰν ΔΖ, οὕτως ἁ ΘΖ ποτὶ τὰν ΘΗ. τᾷ δὲ ΔΓ ἴσα ἐστὶν ἁ ΔΑ. δῆλον οὖν, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἁ ΔΑ ποτὶ τὰν ΔΖ, ὃν ἁ ΖΘ ποτὶ τὰν ΘΗ.

ε΄.

Ἔστω τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς τὸ ΑΒΓ, καὶ ἄχθω ἀπὸ τοῦ Α παρὰ τὰν διάμετρον ἁ ΖΑ, ἀπὸ δὲ τοῦ Γ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ ἁ ΓΖ. εἰ δή τις ἀχθείη ἐν τῷ ΖΑΓ τριγώνῳ παρὰ τὰν ΑΖ, εἰς τὸν αὐτὸν λόγον ἁ ἀχθεῖσα τετμησέται ὑπὸ τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς καὶ ἁ ΑΓ ὑπὸ τᾶς ἀχθείσας [ἀνάλογον]. ὁμόλογον δὲ ἐσσείται τὸ τμᾶμα τᾶς ΑΓ τὸ ποτὶ τῷ Α τῷ τμάματι τᾶς ἀχθείσας τῷ ποτὶ τῷ Α.

ἄχθω γάρ τις ἁ ΔΕ παρὰ τὰν ΑΖ, καὶ τεμνέτω πρῶτον ἁ ΔΕ τὰν ΑΓ δίχα. ἐπεὶ οὖν ἐστιν ὀρθογωνίου κώνου τομὰ ἁ ΑΒΓ, καὶ ἀγμένα ἁ ΒΔ παρὰ τὰν διάμετρον, αἱ δὲ ΑΔ, ΔΓ ἴσαι, ἐσσείται τᾷ ΑΓ παράλληλος ἁ κατὰ τὸ Β ἐπιψαύουσα τᾶς τοῦ ὀρθο-

1. ποτὶ τὰν ΒΘ — αἱ ΒΓ lin. 2 suppleui; om. F, uulgo. 5. ΔΖ — ποτὶ τάν om. F lacuna post ΘΗ relicta; corr. ed. Basil. 8. Hinc propositionum numeros om. F, sed initia per lineolam transuersam in mg. ductam designat. 9. τμημα F; corr. Torellius. 13. εἰς] addidi; om. F, uulgo. 16. ἀνάλογον] uncis inclusit ed. Basil.; om. Torellius. 17. τὸ ποτὶ τῷ] scripsi; ποτι το F, uulgo. τῷ Α] scripsi; τα Α F, uulgo; fort. τᾶ ΑΓ. 18. παρά] ποτι F; corr. A. 20. αγμενη F; corr. Torellius.

enim demonstratum est[1]) [prop. 3]. erit igitur

$$B\Gamma : BI = B\Gamma^2 : B\Theta^2.^{2})$$

quare lineae $B\Gamma$, $B\Theta$, BI proportionales sunt[3]); quare erit $B\Gamma : B\Theta = \Gamma\Theta : \Theta I.$[4]) erit igitur

$$\Gamma\Delta : \Delta Z = \Theta Z : \Theta H.^{5})$$

sed $\Delta A = \Delta\Gamma$. adparet igitur, esse

$$\Delta A : \Delta Z = Z\Theta : \Theta H.$$

V.

Sit $AB\Gamma$ segmentum linea recta et sectione coni rectanguli comprehensum, et ducatur a puncto A diametro parallela linea ZA, et a Γ linea ΓZ sectionem coni in puncto Γ contingens. iam si linea aliqua in triangulo $ZA\Gamma$ lineae AZ parallela ducitur, in eadem ratione et linea ducta a sectione coni rectanguli et $A\Gamma$ a ducta linea secabitur; et pars lineae $A\Gamma$ ad A sita respondebit parti ductae lineae ad A sitae.

ducatur enim linea aliqua ΔE lineae AZ parallela, et primum linea ΔE lineam $A\Gamma$ in duas partes aequales secet. iam quoniam $AB\Gamma$ sectio est coni rectanguli, et $B\Delta$ diametro parallela, et $A\Delta = \Delta\Gamma$, erit linea in puncto B sectionem coni rectanguli contingens

---

1) Sc. a prioribus, ἐν τοῖς κωνικοῖς στοιχείοις; neque enim in prop. 3 demonstratum est. debuit esse $A\Delta^2 : KH^2$, sed $A\Delta = \Delta\Gamma$.

2) Nam $B\Delta : BK = B\Gamma : BI$ (Eucl. VI, 2) et
$$\Delta\Gamma : KH = \Delta\Gamma : Z\Delta = B\Gamma : B\Theta,$$
quia $B\Delta \nparallel Z\Theta$ (Eucl. VI, 2).

3) H. e. $B\Gamma : B\Theta = B\Theta : BI$ (Eucl. V def. 10).

4) ἐναλλάξ, συνθέντι, ἐναλλάξ ex $B\Gamma : B\Theta = B\Theta : BI$.

5) Nam $B\Gamma : B\Theta = \Gamma\Delta : \Delta Z$, quia $B\Delta \nparallel \Theta Z$, et
$$\Gamma\Theta : \Theta I = \Theta Z : \Theta H,$$
quia $HI \nparallel A\Gamma$ (Eucl. VI, 2).

γωνίου κώνου τομᾶς. πάλιν ἐπεὶ παρὰ τὰν διάμετρόν ἐστιν ἁ ΔΕ, καὶ ἀπὸ τοῦ Γ ἁ ΓΕ ἄκται ἐπιψαύουσα



τᾶς τοῦ ὀρθογωνίου κώνου τομᾶς κατὰ τὸ Γ, ἁ δὲ ΔΓ παράλληλος τᾷ κατὰ τὸ Β ἐπιψαυούσᾳ, ἴσα ἐστὶν ἁ ΕΒ τᾷ ΒΔ. ὥστε τὸν αὐτὸν ἔχει λόγον ἁ ΑΔ ποτὶ τὰν ΔΓ, ὃν ἁ ΔΒ ποτὶ τὰν ΒΕ. εἰ μὲν οὖν δίχα τέμνει ἁ ἀχθεῖσα τὰν ΑΓ, δεδείκται· εἰ δὲ μή, ἄχθω τις ἄλλα ἁ ΚΛ παρὰ τὰν ΑΖ. δεικτέον οὖν, ὅτι τὸν αὐτὸν ἔχει λόγον ἁ ΑΚ ποτὶ τὰν ΚΓ, ὃν ἁ ΚΘ ποτὶ τὰν ΘΛ. ἐπεὶ γὰρ ἴσα ἐστὶν ἁ ΒΕ τᾷ ΒΔ, ἴσα ἐστὶ καὶ ἁ ΙΛ τᾷ ΚΙ. τὸν αὐτὸν ἄρα λόγον ἔχει ἁ ΚΛ ποτὶ τὰν ΚΙ, ὃν ἁ ΑΓ ποτὶ τὰν ΔΑ. ἔχει δὲ καὶ ἁ ΚΙ ποτὶ τὰν ΚΘ τὸν αὐτὸν λόγον, ὃν ἁ ΔΑ ποτὶ τὰν ΑΚ. δεδείκται γὰρ ἐν τῷ πρότερον. ὥστε τὸν αὐτὸν λόγον ἔχει ἁ ΚΘ ποτὶ τὰν ΘΛ, ὃν ἁ ΑΚ ποτὶ τὰν ΚΓ. δεδείκται οὖν τὸ προτεθέν.

ϛʹ.

Νοείσθω δὴ τό τε [ἐστιν τό] ἐν τᾷ θεωρίᾳ προκείμενον [ὁρώμενον] ἐπίπεδον ὀρθὸν ποτὶ τὸν ὁρίζοντα, καὶ τᾶς ΑΒ γραμμᾶς [ἔπειτα] τὰ μὲν ἐπὶ τὰ αὐτὰ τῷ Δ κάτω νοείσθω, τὰ δὲ ἐπὶ θάτερα ἄνω. τὸ δὲ ΒΔΓ τρίγωνον ἔστω ὀρθογώνιον ὀρθὰν ἔχον τὰν ποτὶ τῷ Β γωνίαν καὶ τὰν ΒΓ πλευρὰν ἴσαν τᾷ ἡμισείᾳ τοῦ

13. τὰν ΚΓ] τον (comp.) ΚΓ F; corr. Torellius. 14. ιση F; corr. Torellius, ut lin. 15. 16. ἁ ΚΛ] om. F; corr. To-

lineae $A\Gamma$ parallela.[1]) rursus quoniam linea ΔE diametro parallela est, et a puncto Γ linea ΓE ducta est sectionem coni rectanguli in Γ contingens, et linea $\Delta\Gamma$ lineae in puncto B contingenti parallela est, erit $EB = B\Delta$ [prop. 2]. quare $A\Delta : \Delta\Gamma = \Delta B : BE$. si igitur ducta linea lineam $A\Gamma$ in duas partes aequales diuidit, demonstratum est propositum. si minus, alia linea KA lineae AZ parallela ducatur. demonstrandum igitur, esse $AK : K\Gamma = K\Theta : \Theta A$. nam quoniam $BE = B\Delta$, erit etiam $IA = KI$.[2]) itaque

$$KA : KI = A\Gamma : \Delta A.$$

uerum etiam $KI : K\Theta = \Delta A : AK$. hoc enim in praecedenti [propositione] demonstratum est.[3]) quare erit $K\Theta : \Theta A = AK : K\Gamma$.[4]) itaque constat propositum.

VI.

Fingatur iam planum, quod sub oculis est, ad horizontem perpendiculare, et quae in eadem parte lineae AB sunt, in qua est punctum Δ, infra esse fingantur, quae in altera, supra. et $B\Delta\Gamma$ triangulus sit rectangulus angulum ad B positum rectum habens et latus $B\Gamma$

---

1) U. prop. 1 b.
2) Zeitschr. f. Math., hist. Abth. XXIV p. 178 nr. 3.
3) Ex prop. 4 erit $KI : I\Theta = A\Delta : K\Delta$; tum u. Eucl. V, 19 πόρισμα.
4) δι' ἴσου (Eucl. V, 22) $KA : K\Theta = A\Gamma : AK$; tum διελόντι et ἀνάπαλιν.

---

rellius. 19. Post πρότερον addit Torellius: ὡς ἄρα ἁ $K\Theta$ ποτὶ τὰν KA, οὕτως ἁ AK ποτὶ τὰν $A\Gamma$. ὥστε] ωσ F; corr. Torellius. 23. δή] scripsi; δε F, uulgo. ἐστιν τό] deleo. τη F; corr. Torellius. 24. ὁρώμενον] deleo. 25. καί] διά Nizzius; καὶ διά Ien. ἔπειτα] deleo. 26. κάτω] κατα F. 27. ορθην F; corr. Torellius. τῷ] scripsi; τα F, uulgo; το Torellius.

ζυγοῦ [δηλονότι ἴσης οὔσης τᾶς ΑΒ τῇ ΒΓ]. κρεμάσθω δὲ τὸ τρίγωνον ἐκ τῶν Β, Γ σαμείων, κρεμάσθω δὲ καὶ ἄλλο χωρίον τὸ Ζ ἐκ τοῦ ἑτέρου μέρεος τοῦ ζυγοῦ κατὰ τὸ Α, καὶ ἰσορροπείτω τὸ Ζ χωρίον κατὰ τὸ Α κρεμάμενον τῷ ΒΔΓ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. φαμὶ δή, τὸ Ζ χωρίον τοῦ ΒΔΓ τριγώνου μέρος τρίτον εἶμεν.

ἐπεὶ γὰρ ὑποκεῖται ἰσορροπέων ὁ ζυγός, εἴη κα ἁ ΑΓ γραμμὰ παρὰ τὸν ὁρίζοντα, αἱ δὲ ποτ' ὀρθὰς ἀγομέναι τᾷ ΑΓ ἐν τῷ ὀρθῷ ἐπιπέδῳ ποτὶ τὸν ὁρίζοντα καθέτοι ἐσσοῦνται ἐπὶ τὸν ὁρίζοντα. τετμάσθω δὴ ἁ ΒΓ γραμμὰ κατὰ τὸ Ε οὕτως, ὥστε διπλασίονα εἶμεν τὰν ΓΕ τᾶς ΕΒ, καὶ ἄχθω παρὰ τὰν ΔΒ ἁ ΚΕ, καὶ τετμάσθω δίχα κατὰ τὸ Θ. τοῦ δὴ ΒΔΓ τριγώνου κέντρον βάρεός ἐστι τὸ Θ σαμεῖον. δεδείκται γὰρ τοῦτο ἐν τοῖς μηχανικοῖς. εἴ κα οὖν τοῦ ΒΔΓ τριγώνου ἁ μὲν κατὰ τὰ Β, Γ κρέμασις λυθῇ, κατὰ δὲ το Ε κρεμασθῇ, μένει τὸ τρίγωνον, ὡς νῦν ἔχει. ἕκαστον γὰρ τῶν κρεμαμένων, ἐξ οὗ σαμείου κα κατασταθῇ, μένει, ὥστε κατὰ κάθετον εἶμεν τό τε σαμεῖον τοῦ κρεμαστοῦ καὶ τὸ κέντρον τοῦ βάρεος τοῦ κρεμαμένου. δεδείκται γὰρ καὶ τοῦτο. ἐπεὶ οὖν τὰν αὐτὰν



1. *δηλονότι — ΒΓ*] deleo. 2. *σημειων* F; corr. Torellius. 3. *μερους* F, uulgo. 5. *εοντι* F; corr. Torellius. 7. *ειναι* per comp. F; corr. Torellius. 8. *ισορροπων* F, uulgo. *εἴη κα*] scripsi; *εηκα* F, *εκ κα* uulgo; *ἐσσεῖται* Torellius cum B. 9. *παρὰ τὸν ὁρίζοντα, αἱ*] *αυτον οριζονται* F; corr. Torellius. 11. *καθετοις* F; corr. ed. Basil. 13. *τετμησθω* F; corr. To-

dimidiae librae aequale. suspendatur autem triangulus ex punctis B, Γ, et in altera parte librae aliud spatium Z ex puncto A suspendatur, et spatium Z ex A suspensum cum triangulo $B\Delta\Gamma$ ita se habenti, uti nunc positus est, aequilibritatem seruet. dico igitur, spatium Z tertiam partem esse trianguli $B\Delta\Gamma$.

nam quoniam suppositum est libram aequilibritatem seruare, linea $A\Gamma$ horizonti parallela erit, et lineae ad $A\Gamma$ perpendiculares in plano ad horizontem perpendiculari ductae, ad horizontem perpendiculares erunt.[1]) secetur igitur linea $B\Gamma$ in puncto E ita, ut sit $\Gamma E = 2EB$, et ducatur linea KE lineae ΔB parallela, et in puncto Θ in duas partes aequales secetur. itaque punctum Θ trianguli $B\Delta\Gamma$ centrum grauitatis est. hoc enim in mechanicis demonstratum est [ἐπιπεδ. ἰσορρ. I, 14].[2]) iam si trianguli $B\Delta\Gamma$ ex punctis B, Γ suspendium soluitur, et ex E suspenditur, triangulus manet, ut nunc se habet. nam omnia suspensa, in quocunque puncto posita sunt, ita manent, ut punctum suspendii et centrum grauitatis suspensi in perpendiculari posita sint. nam hoc quoque demonstratum est.[3]) quoniam igitur triangulus $B\Gamma\Delta$

1) Nam linea $A\Gamma$ ei lineae, in qua planum perpendiculare horizontem secat, parallela erit (Eucl. XI, 16); quare lineae ad $A\Gamma$ perpendiculares etiam ad illam lineam perpendiculares erunt (Eucl. I, 29). tum u. Eucl. XI def. 4.

2) Cfr. Zeitschr. f. Math., hist. Abth. XXIV p. 179 nr. 6.

3) Sine dubio in libro περὶ ζυγῶν; Quaest. Arch. p. 32.

rellius, ut lin. 18. 19. βαρους F, uulgo, ut lin. 25. 21. ἃ] ο F; corr. Torellius. λυθῇ] scripsi; λυθειη F, uulgo. 22. τριγωνιον F; corr. A. 23. σημειον F; corr. Torellius. κα καταστα θῇ] scripsi; κατασταθεν F, uulgo. 26. γάρ] scripsi; ουν F, uulgo.

ἕξει κατάστασιν τὸ ΒΓΔ τρίγωνον ποτὶ τὸν ζυγόν, ἰσορροπήσει ὁμοίως τὸ Ζ χωρίον. ἐπεὶ δὲ ἰσορροπέοντι τὸ μὲν Ζ κρεμάμενον κατὰ τὸ Α, τὸ δὲ ΒΔΓ κατὰ τὸ Ε, δῆλον, ὡς ἀντιπέπονθε τοῖς μάκεσιν, καί ἐστιν, ὡς ἁ ΑΒ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΒΔΓ τρίγωνον ποτὶ τὸ Ζ χωρίον. τριπλασία δὲ ἁ ΑΒ τᾶς ΒΕ. καὶ τὸ ΒΔΓ ἄρα τρίγωνον τριπλάσιόν ἐστι τοῦ Ζ χωρίου.

φανερὸν δὲ [ὅτι] καί, εἴ κα τριπλάσιον ᾖ τὸ ΒΔΓ τρίγωνον τοῦ Ζ χωρίου, ὅτι ἰσορροπήσει.

ζ'.

Ἔστω πάλιν ζυγὸς ἁ ΑΓ γραμμά, μέσον δὲ αὐτᾶς ἔστω τὸ Β, καὶ κρεμάσθω κατὰ τὸ Β [τὸ ΓΔΗ τρίγωνον]. τὸ δὲ ΓΔΗ ἔστω τρίγωνον ἀμβλυγώνιον βάσιν μὲν ἔχον τὰν ΔΗ, ὕψος δὲ τὰν ἴσαν ἐοῦσαν τᾷ ἡμισείᾳ τοῦ ζυγοῦ. καὶ κρεμάσθω τὸ ΔΓΗ τρίγωνον ἐκ τῶν Β, Γ σαμείων, τὸ δὲ Ζ χωρίον κρεμάμενον κατὰ τὸ Α ἰσορροπὲς ἔστω τῷ ΓΔΗ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται.



ὁμοίως δὴ δειχθησέται τὸ Ζ χωρίον τρίτον μέρος τοῦ ΓΔΗ τριγώνου.

κρεμάσθω γάρ τι καὶ ἄλλο χωρίον ἐκ τοῦ Α τρίτον μέρος ἐὸν τοῦ ΒΓΗ τριγώνου. ἰσορροπήσει δὴ τὸ ΒΔΓ τρίγωνον τῷ ΖΛ. ἐπεὶ οὖν τὸ μὲν ΒΓΗ τρί-

2. *ισορροπεωντι* F; corr. Torellius. 9. *ὅτι*] deleo. 10. *ὅτι*] per comp. F; *ὁμοίως* Torellius. 12. *γραμμη* F; corr. Torellius. *αυτης* F; corr. Torellius. 13. *τὸ ΓΔΗ τρίγωνον*] deleo. 15. *εχο* cum comp. *ον* F. *τὰν ΒΓ ἴσαν* Nizzius. 17. *σημειων* F; corr. Torellius. 18. *ισσορροπες* F. *τῷ*] *το* F.

eandem positionem habebit ad libram, ut antea {cum eo] aequilibritatem seruabit spatium Z. et quoniam spatium Z ex A suspensum et triangulus $B\Delta\Gamma$ ex E suspensus aequilibritatem seruant, adparet, ea in contraria longitudinum proportione esse [ἐπιπ. ἰσορρ. I, 6—7], et esse $B\Delta\Gamma : Z = AB : BE$. sed $AB = 3BE$. quare etiam $B\Delta\Gamma = 3Z$.

et manifestum est etiam, si triangulus $B\Delta\Gamma$ triplo maior sit spatio Z, aequilibritatem ea seruatura esse.

VII.

Rursus linea $A\Gamma$ libra sit, et medium eius sit B, et ex B suspendatur.[1]) $\Gamma\Delta H$ autem triangulus sit obtusiangulus basim habens lineam ΔH, altitudinem uero lineam dimidiae librae aequalem. et triangulus $\Delta\Gamma H$ ex punctis B, Γ suspendatur, spatium Z autem ex A suspensum cum triangulo $\Gamma\Delta H$ ita se habenti, ut nunc positus est, aequilibritatem seruet. iam eodem modo demonstrabimus, spatium Z tertiam partem esse trianguli $\Gamma\Delta H$.

suspendatur enim etiam aliud spatium [Λ] ex puncto A, quod tertia pars sit trianguli $B\Gamma H$. itaque triangulus $B\Delta\Gamma$ cum spatio $Z + \Lambda$ aequilibritatem seruabit.[2]) iam quoniam triangulus $B\Gamma H$ cum

1) Sc. libra; cfr. prop. 8. nam triangulus $\Gamma\Delta H$ non ex B, sed ex B et Γ suspenditur (lin. 17).

2) Nam suppositum est, Z et $\Gamma\Delta H$ aequilibritatem seruare, et ex prop. 6, b Λ et $BH\Gamma$ aequilibritatem seruant. hinc autem hoc quoque sequitur, esse $B\Delta\Gamma = 3\ (Z + \Lambda)$ (prop. 6).

20. δή] scripsi; δε F, uulgo. 24. αλλω F. χωρίον τὸ Λ Nizzius. 25. δή] scripsi; δε F, uulgo.

γωνον ἰσορροπεῖ τῷ Δ, τὸ δὲ ΒΓΔ τῷ ΖΔ, καὶ τρίτον ἐστὶ τοῦ ΒΓΔ τὸ ΖΔ, φανερόν, ὅτι καὶ τὸ ΓΔΗ τρίγωνον τριπλάσιον τοῦ Ζ.

η'.

Ἔστω ζυγὸς ὁ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Β, καὶ κρεμάσθω κατὰ τὸ Β, τὸ δὲ ΓΔΕ τρίγωνον ὀρθογώνιον ὀρθὰν ἔχον τὰν ποτὶ τῷ Ε γωνίαν, καὶ κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Γ, Ε, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α, καὶ ἰσορροπείτω τῷ ΓΔΕ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΓΔΕ τρίγωνον ποτὶ τὸ Κ χωρίον. φαμὶ δὴ τὸ Ζ χωρίον τοῦ μὲν ΓΔΕ τριγώνου ἔλασσον εἶμεν, τοῦ δὲ Κ μεῖζον.



λελάφθω γὰρ τοῦ ΔΕΓ τριγώνου τὸ κέντρον τοῦ βάρεος, καὶ ἔστω τὸ Θ, καὶ ἁ ΘΗ ἄχθω παρὰ τὰν ΔΕ. ἐπεὶ οὖν ἰσορροπεῖ τὸ ΓΔΕ τρίγωνον τῷ Ζ χωρίῳ, τὸν αὐτὸν ἔχει λόγον τὸ ΓΔΕ χωρίον ποτὶ τὸ Ζ, ὃν ἁ ΑΒ ποτὶ τὰν ΒΗ. ὥστε ἔλασσόν ἐστι τὸ Ζ τοῦ ΓΔΕ. καὶ ἐπεὶ τὸ ΓΔΕ τρίγωνον ποτὶ μὲν τὸ Ζ τοῦτον ἔχει τὸν λόγον, ὃν ἁ ΒΑ ποτὶ τὰν ΒΗ, ποτὶ δὲ τὸ Κ, ὃν ἁ ΒΑ ποτὶ τὰν ΒΕ, δῆλον, ὡς μείζονα λόγον ἔχει τὸ ΓΔΕ τρίγωνον ποτὶ τὸ Κ ἢ ποτὶ τὸ Ζ. ὥστε μεῖζόν ἐστι τὸ Ζ τοῦ Κ.

---

1. Δ] Α F; corr. Torellius. 2. ΖΔ] ΖΑ FV. 5. ΑΓ] ΑΒ F; corr. Riualtus. κεκρεμάσθω F. 6. δέ] addidi (u.

spatio Λ, et triangulus $B\Gamma\Delta$ cum $Z + \Lambda$ aequilibritatem seruat, et tertia pars est trianguli $B\Delta\Gamma$ spatium $Z + \Lambda$ [et trianguli $BH\Gamma$ spatium Λ][1]), manifestum est, triangulum $\Gamma\Delta H$ triplo maiorem esse spatio Z.

VIII.

Libra sit $A\Gamma$, et medium eius punctum B, et ex puncto B suspendatur, $\Gamma\Delta E$ autem triangulus sit rectangulus angulum ad E positum rectum habens, et in libra ex punctis Γ, E suspendatur, et spatium Z ex A suspendatur et cum $\Gamma\Delta E$ ita se habenti, ut nunc positus est, aequilibritatem seruet. et sit

$$AB : BE = \Gamma\Delta E : K.$$

dico igitur, spatium Z minus esse triangulo $\Gamma\Delta E$ maius autem spatio K.

sumatur enim trianguli $\Delta E\Gamma$ centrum grauitatis et sit Θ [p. 306, 18], et ducatur ΘH lineae ΔE parallela. iam quoniam triangulus $\Gamma\Delta E$ cum spatio Z aequilibritatem seruat, erit

$$\Gamma\Delta E : Z = AB : BH \text{ [ἐπιπ. ἰσορρ. I, 6—7]}.$$

quare $Z < \Gamma\Delta E$. et quoniam est

$$\Gamma\Delta E : Z = BA : BH$$

et $\Gamma\Delta E : K = BA : BE$ [ex hypothesi], adparet, esse $\Gamma\Delta E : K > \Gamma\Delta E : Z$. quare $Z > K$ [Eucl. V, 10].

1) Fortasse lin. 2 addendum est: τοῦ δὲ $B\Gamma H$ τὸ Λ.

p. 309 not. 1); om. F, uulgo. 7. τῷ] scripsi; ταν F, uulgo; τό Torellius. 24. ἔχει] εχον F; corr. Ien.

θʹ.

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΓΔΚ τρίγωνον ἀμβλυγώνιον βάσιν μὲν ἔχον τὰν ΔΚ, ὕψος δὲ τὰν ΕΓ. καὶ κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Γ, Ε. τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΔΓΚ τριγώνῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΓΔΚ τρίγωνον ποτὶ τὸ Λ. φαμὶ δὴ τὸ Ζ τοῦ μὲν Λ μεῖζον εἶμεν, τοῦ δὲ ΔΓΚ ἔλασσον.



δειχθησέται ὁμοίως τῷ πρότερον.

ιʹ.

Ἔστω πάλιν τὸ μὲν ΑΒΓ ζύγιον, καὶ μέσον αὐτοῦ τὸ Β, τὸ δὲ ΒΔΗΚ τραπέζιον τὰς μὲν ποτὶ τοῖς Β, Η σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰν δὲ ΚΔ πλευρὰν ἐπὶ τὸ Γ νεύουσαν. καὶ ὃν ἔχει λόγον ἁ ΒΑ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ ΒΔΚΗ τραπέζιον ποτὶ τὸ Λ. κρεμάσθω δὲ τὸ ΒΔΗΚ τραπέζιον ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Η σαμεῖα, κρεμάσθω δὲ καὶ τὸ Ζ χωρίον κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΒΔΚΗ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν ὑποκεῖται. φαμὶ τὸ Ζ χωρίον ἔλασσον εἶμεν τοῦ Λ.

τετμάσθω γὰρ ἁ ΑΓ κατὰ τὸ Ε οὕτως, ὥστε ὃν ἔχει λόγον ἁ διπλασία τᾶς ΔΒ καὶ ἁ ΚΗ ποτὶ τὰν διπλασίαν τᾶς ΚΗ καὶ τὰν ΒΔ, τοῦτον ἔχειν τὰν ΕΗ

4. κεκρεμασθω F; corr. A. 6. κεκρεμασθω F; corr. AB.

IX.

Rursus sit $\Delta\Gamma$ libra, et medium eius punctum B, et triangulus $\Gamma\Delta K$ obtusiangulus basim habens ΔK, altitudinem autem $E\Gamma$; et in libra ex Γ, E suspendatur. Z autem spatium ex A suspendatur et cum triangulo $\Delta\Gamma K$ ita se habenti, ut nunc positus est, aequilibritatem seruet. et sit $\Gamma\Delta K : \Lambda = AB : BE$. dico igitur, spatium Z maius esse spatio Λ, minus autem triangulo $\Delta\Gamma K$.

demonstrabitur eodem modo, quo praecedens propositio.

X.

Rursus sit $AB\Gamma$ libra, et medium eius punctum B, et $B\Delta HK$ trapezium angulos ad puncta B, H positos rectos habens et latus $K\Delta$ ad Γ uergens. et sit

$$B\Delta KH : \Lambda = BA : BH.$$

et trapezium $B\Delta HK$ in libra ex punctis B, H suspendatur, et etiam spatium Z ex A suspendatur et cum trapezio $B\Delta KH$ ita se habenti, ut nunc positum est, aequilibritatem seruet. dico, spatium Z minus esse spatio Λ.

secetur enim linea $A\Gamma$ in puncto E ita, ut sit

$$2\Delta B + KH : 2KH + B\Delta = EH : BE,$$

8. ΔEK F; corr. Torellius. 17. *τραπεζειον* F, uulgo; et haec forma F in hoc libro semper praebet. 18. *σημειοις* F; corr. manus 2. 21. *Λ χωρίον* Torellius. *κεκρεμασθω* F, uulgo. 22. *τὰ B, H σαμεῖα*] scripsi; *των B, H σαμειων* F, uulgo. *κεκρεμασθω* F, uulgo. 24. *φημι* F; corr. Torellius. 26. *τετμησθω* F; corr. Torellius, ut p. 314 lin. 2. 27. *της* F; corr. Torellius. 28. *τάν*] (prius) scripsi; *της* F, uulgo; *τᾶς* Torellius. *ἔχειν*] *ον εχει* F (*ον* supra scr. manu 1); corr. ed. Basil.

ποτὶ τὰν *ΒΕ*, καὶ διὰ τοῦ *Ε* παρὰ τὰν *ΒΔ* ἀχθεῖσα ἁ *ΕΝ* τετμάσθω δίχα κατὰ τὸ *Θ*. τοῦ δὴ *ΒΔΗΚ* τραπεζίου κέντρον ἐστὶ τοῦ βάρεος τὸ *Θ*. δεδείκται



γὰρ τοῦτο ἐν τοῖς μηχανικοῖς. ἢν οὖν τὸ *ΒΔΗΚ* τραπέζιον κατὰ μὲν τὸ *Ε* κρεμασθῇ, ἀπὸ δὲ τῶν *Β*, *Η* σαμείων λυθῇ, μένει τὰν αὐτὰν ἔχον κατάστασιν διὰ τὰ αὐτὰ τοῖς πρότερον, καὶ ἰσορροπεῖ τῷ *Ζ* χωρίῳ. ἐπεὶ οὖν ἰσορροπεῖ τὸ *ΒΔΗΚ* τραπέζιον κατὰ τὸ *Ε* κρεμάμενον τῷ *Ζ* χωρίῳ κατὰ τὸ *Α* κρεμαμένῳ, ἐσσείται, ὡς ἁ *ΒΑ* ποτὶ τὰν *ΒΕ*, τὸ *ΒΔΗΚ* τραπέζιον ποτὶ τὸ *Ζ* χωρίον. μείζονα οὖν λόγον ἔχει τὸ *ΒΔΗΚ* τραπέζιον ποτὶ τὸ *Ζ* ἤπερ ποτὶ τὸ *Λ*, ἐπεὶ καὶ ἁ *ΑΒ* ποτὶ τὰν *ΒΕ* μείζονα λόγον ἔχει ἤπερ ποτὶ τὰν *ΒΗ*. ὥστε ἔλασσον ἐσσείται τὸ *Ζ* τοῦ *Λ*.

ια′.

Ἔστω πάλιν τὸ μὲν *ΑΓ* ζύγιον, καὶ μέσον αὐτοῦ



τὸ *Β*, τὸ δὲ *ΚΔΤΡ* τραπέζιον ἔστω τὰς μὲν *ΚΔ*, *ΤΡ* πλευρὰς ἔχον ἐπὶ τὸ *Γ* νευούσας, τὰς δὲ *ΔΡ*, *ΚΤ* καθέτους ἐπὶ τὰν *ΒΓ*, καὶ ἁ *ΔΡ* ἐπὶ τὸ *Β* πιπτέτω. ὃν δὲ λόγον ἔχει ἁ *ΑΒ* ποτὶ τὰν *ΒΗ*, τοῦτον ἐχέτω τὸ *ΔΚΤΡ*

3. βαρους F, uulgo. 8. σημειων F; corr. Torellius. λυθῇ] scripsi; λυθειη F, uulgo. 9. εχοντα F. 11. ἰσορροπεῖ] scripsi;

et linea EN per E ducta lineae $B\Delta$ parallela in puncto Θ in duas partes aequales secetur. itaque trapezii $B\Delta HK$ centrum grauitatis est Θ. hoc enim in mechanicis demonstratum est [ἐπιπ. ἰσορρ. I, 15]. si igitur trapezium $B\Delta HK$ ex puncto E suspenditur, ex B, H autem punctis soluitur, manet eandem positionem habens propter eadem, quae supra[1]), et cum spatio Z aequilibritatem seruat. iam quoniam trapezium $B\Delta HK$ ex E suspensum cum spatio Z ex A suspenso aequilibritatem seruat, erit $BA : BE = B\Delta HK : Z$ [ἐπιπ. ἰσορρ. I, 6—7]. quare $B\Delta HK : Z > B\Delta HK : A$, quia etiam $AB : BE > AB : BH$.[2]) quare $Z < A$ [Eucl. V, 10].

XI.

Rursus sit $A\Gamma$ libra, et medium eius punctum B, et $K\Delta TP$ trapezium sit latera $K\Delta$, TP ad punctum Γ uergentia habens, latera autem ΔP, KT ad $B\Gamma$ perpendicularia, et ΔP in B cadat. praeterea sit

$$AB : BH = \Delta KTP : A,$$

1) Prop. 6 p. 306, 23.

2) Nam $BE < BH$.

ισορροπειτω F, uulgo; ἰσορροπήσει ed. Basil., Torellius. 15. μείζονα οὖν] scripsi; μειζ (cum comp. ον) ονα F; μείζονα CD; μείζονα ἄρα uulgo. εχ cum comp. ον F; corr. AB. 16. τραπειον F. 18. εσται per comp. F, uulgo. 26. η F; corr. Torellius.

τραπέζιον ποτὶ τὸ Λ. τὸ δὲ ΔΚΤΡ τραπέζιον κρεμάσθω ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Η καὶ τὸ Ζ κατὰ τὸ Α, καὶ ἰσορροπείτω τὸ Ζ τῷ ΔΚΡΤ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. ὁμοίως δὴ τοῖς πρότερον δειχθησέται ἔλασσον τὸ Ζ χωρίον τοῦ Λ.

ιβ'.

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΔΕΚΗ τραπέζιον ἔστω τὰς μὲν ποτὶ τοῖς Ε, Η σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰς δὲ ΚΔ, ΕΗ γραμμὰς ποτὶ τὸ Γ νευούσας. καὶ ὃν μὲν λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ ΔΚΕΗ τραπέζιον ποτὶ τὸ Μ, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον τὸν λόγον ἐχέτω τὸ ΔΚΕΗ τραπέζιον ποτὶ τὸ Λ. κρεμάσθω δὲ τὸ ΔΚΕΗ τραπέζιον ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Ε, Η, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α, καὶ ἰσορροπείτω τῷ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν ὑποκεῖται. φαμὶ δὴ τὸ Ζ τοῦ μὲν Λ μεῖζον εἶμεν, τοῦ δὲ Μ ἔλασσον.



ἔλαβον γὰρ τοῦ ΔΚΕΗ τραπεζίου τὸ κέντρον τοῦ βάρεος, ἔστω δὲ τὸ Θ· λαφθησέται δὲ ὁμοίως τῷ πρότερον· καὶ ἄγω τὰν ΘΙ παρὰ τὰν ΔΕ. ἂν οὖν τὸ τραπέζιον ἐκ τοῦ ζυγοῦ κρεμασθῇ κατὰ τὸ Ι, ἀπὸ δὲ τῶν Ε, Η λυθῇ, μενεῖ τὰν αὐτὰν ἔχον κατάστασιν

1. κεκρεμασθω F, uulgo. 3. τὸ Ζ] τω Ζ F; corr. B. 9.

et trapezium ΔKTP in libra ex B, H suspendatur et Z ex A, et Z spatium cum trapezio ΔKPT ita se habenti, ut nunc positum est, aequilibritatem seruet. eodem igitur modo, quo in praecedentibus propositionibus, demonstrabitur $Z < A$.

XII.

Rursus sit $A\Gamma$ libra, medium autem eius punctum B, et ΔEKH trapezium sit angulos ad puncta E, H positos rectos habens et lineas $K\Delta$, EH ad punctum Γ uergentes. et sit

$AB : BH = \Delta KEH : M$ et $AB : BE = \Delta KEH : A$.

et trapezium ΔKEH in libra ex punctis E, H suspendatur, Z autem spatium ex A suspendatur, et cum trapezio ita se habenti ut nunc positum est, aequilibritatem seruet. dico igitur esse $M > Z > A$.

sumpsi enim trapezii ΔKEH centrum grauitatis, et sit Θ; sumetur autem eodem modo, quo supra [p. 306, 18]; et duco ΘI lineae ΔE parallelam. si igitur trapezium in libra ex puncto I suspenditur et ex punctis E, H soluitur, manebit eandem positionem

---

σημειοις F; corr. Torellius. 14. κεκρεμασθω F, uulgo. 18. κρεμάσθω] scripsi; εκκρεμασθω F, uulgo; κεκρεμάσθω Torellius. 26. βαρους F, uulgo. ληφθησεται F; corr. Torellius. 28. κρεμασθῇ] scripsi; κρεμασθησεται F, uulgo.

καὶ ἰσορροπήσει τῷ Ζ διὰ τὰ αὐτὰ τοῖς πρότερον. ἐπεὶ δὲ ἰσορροπεῖ τὸ τραπέζιον κρεμάμενον κατὰ τὸ Ι τῷ Ζ κρεμαμένῳ κατὰ τὸ Λ, τὸν αὐτὸν ἕξει λόγον τὸ τραπέζιον ποτὶ τὸ Ζ, ὃν ἁ ΑΒ ποτὶ τὰν ΒΙ. δῆλον οὖν, ὅτι τὸ ΔΚΕΗ ποτὶ μὲν τὸ Λ μείζονα λόγον ἔχει ἢ ποτὶ τὸ Ζ, ποτὶ δὲ τὸ Μ ἐλάσσονα ἢ ποτὶ τὸ Ζ. ὥστε τὸ Ζ τοῦ μὲν Λ μεῖζόν ἐστι, τοῦ δὲ Μ ἔλασσον.

ιγ'.

Ἔστω πάλιν τὸ μὲν ΑΓ ζύγιον, κατὰ μέσον δὲ αὐτοῦ τὸ Β, τὸ δὲ ΚΔΤΡ τραπέζιον, ὥστε τὰς μὲν ΚΔ, ΤΡ πλευρὰς νευούσας εἶμεν ἐπὶ τὸ Γ, τὰς δὲ ΔΤ, ΚΡ καθέτους ἐπὶ τὰν ΒΓ. κρεμάσθω δὲ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Ε, Η, τὸ δὲ Ζ χωρίον κρεμάσθω κατὰ τὸ Α καὶ ἰσορροπείτω τῷ ΔΚΤΡ τραπεζίῳ οὕτως ἔχοντι, ὡς νῦν κεῖται. καὶ ὃν μὲν ἔχει λόγον ἁ ΑΒ ποτὶ τὰν ΒΕ, τοῦτον ἐχέτω τὸ ΔΚΤΡ τραπέζιον ποτὶ τὸ Λ χωρίον, ὃν δὲ λόγον ἔχει ἁ ΑΒ ποτὶ τὰν ΒΗ, τοῦτον ἐχέτω τὸ αὐτὸ τραπέζιον ποτὶ τὸ Μ. ὁμοίως δὴ τῷ πρότερον δειχθησέται τὸ Ζ τοῦ μὲν Λ μεῖζον, τοῦ δὲ Μ ἔλασσον.

ιδ'.

Ἔστω τμᾶμα τὸ ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς. ἔστω δὴ πρῶτον ἁ ΒΓ ποτ'

---

1. τῷ] τα F; corr. AB. 2. ἰσορροπεῖ] -ει in rasura F. 5. Λ] Α FV. 7. μειζο cum comp. ον F. 9. κατά] καὶ τό Torellius. 13. Η] om. F. κεκρεμασθω F, uulgo. 22. τμημα F; corr. Torellius. 23. ποτ'] προς per comp. F; corr. Torellius (ποτί).

habens et cum Z aequilibritatem seruabit propter eadem, quae supra [prop. 6 p. 306, 23]. et quoniam trapezium ex I suspensum cum Z ex A suspenso aequilibritatem seruat, erit $\Delta KEH : Z = AB : BI$. adparet igitur, esse $\Delta KEH : A > \Delta KEH : Z$ et

$$\Delta KEH : M < \Delta KEH : Z.^{1)}$$

quare erit [Eucl. V, 10] $M > Z > A$.

XIII.

Rursus sit $A\Gamma$ libra, et in media ea positum punctum B, et $K\Delta TP$ trapezium eiusmodi, ut latera $K\Delta$, TP ad Γ uergant, latera autem ΔT, KP ad $B\Gamma$ per-



pendicularia sint. suspendatur autem in libra ex punctis E, H, et spatium Z ex A suspendatur et cum trapezio ΔKTP ita se habenti, ut nunc positum est, aequilibritatem seruet. et sit $AB : BE = \Delta KTP : A$, et $AB : BH = \Delta KTP : M$. eodem igitur modo, quo supra, demonstrabitur esse $M > Z > A$.

XIV.

Sit $B\Theta\Gamma$ segmentum linea recta et sectione coni rectanguli comprehensum. prius igitur $B\Gamma$ ad diame-

1) Quia $BH > BI > BE$.

ὀρθὰς τᾷ διαμέτρῳ, καὶ ἄχθω ἀπὸ μὲν τοῦ Β σαμείου ἁ ΒΔ παρὰ τὰν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ. ἐσσείται δὴ τὸ ΒΓΔ τρίγωνον ὀρθογώνιον. διῃρήσθω δὲ ἁ ΒΓ ἐς ἴσα τμάματα ὁποσαοῦν τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, καὶ ἀπὸ τᾶν τομᾶν ἄχθωσαν παρὰ τὰν διάμετρον αἱ ΕΣ, ΖΤ. ΗΥ, ΙΞ, ἀπὸ δὲ τῶν σαμείων, καθ' ἃ τέμνοντι αὐταὶ τὰν τοῦ κώνου τομάν, ἐπεζεύχθωσαν ἐπὶ τὸ Γ καὶ ἐκβεβλήσθωσαν. φαμὶ δὴ τὸ τρίγωνον τὸ ΒΔΓ τῶν μὲν τραπεζίων τῶν ΚΕ, ΛΖ, ΜΗ, ΝΙ καὶ τοῦ ΞΙΓ τριγώνου ἔλασσον εἶμεν ἢ τριπλάσιον, τῶν δὲ τραπεζίων τῶν ΖΦ, ΗΘ, ΙΠ καὶ τοῦ ΙΟΓ τριγώνου μεῖζόν ἐστιν ἢ τριπλάσιον.

διάχθω γὰρ εὐθεῖα ἁ ΑΒΓ, καὶ ἀπολελάφθω ἁ ΑΒ ἴσα τᾷ ΒΓ, καὶ νοείσθω ζύγιον τὸ ΑΓ, μέσον δὲ αὐτοῦ ἐσσείται τὸ Β, καὶ κρεμάσθω ἐκ τοῦ Β. κρεμάσθω δὲ καὶ τὸ ΒΔΓ ἐκ τοῦ ζυγοῦ κατὰ τὰ Β, Γ, ἐκ δὲ τοῦ θατέρου μέρεος τοῦ ζυγοῦ κρεμάσθω τὰ Ρ, Χ, Ψ, Ω, $\underset{\varsigma}{\Delta}$ χωρία κατὰ τὸ Α. καὶ ἰσορροπείτω τὸ μὲν Ρ χωρίον τῷ ΔΕ τραπεζίῳ οὕτως ἔχοντι, τὸ δὲ Χ τῷ ΖΣ τραπεζίῳ, τὸ δὲ Ψ τῷ ΤΗ, τὸ δὲ Ω τῷ ΥΙ, τὸ δὲ $\underset{\varsigma}{\Delta}$ τῷ ΞΙΓ τριγώνῳ. ἰσορροπήσει δὴ καὶ τὸ ὅλον τῷ ὅλῳ. ὥστε τριπλάσιον ἂν εἴη τὸ ΒΔΓ τρίγωνον τοῦ ΡΧΨΩ$\underset{\varsigma}{\Delta}$ χωρίου. καὶ ἐπεί ἐστιν τμᾶμα τὸ ΒΓΘ, ὃ περιέχεται ὑπό τε εὐθείας καὶ ὀρθογωνίου

---

4. δέ] scripsi; δη F, uulgo. 5. ἴσα] scripsi; τα F, uulgo; τὰ τμάματα ἴσα Nizzius. τμηματα F; corr. Torellius. 6. ΙΓ] om. F; corr. Nizzius. τας τομας (ας bis per comp.) F; corr. Torellius. 8. τεμνουσιν F, uulgo. την . . τομην F; corr. Torellius. 9. ἐπί] scripsi; κατα F, uulgo. 14. διηχθω F; corr. Torellius. η ΑΓΒ F; ἁ ΓΒ Torellius; ἡ ΑΒ A, ed. Basil.; corr. BCD. 18. μερους F, uulgo. 19. $\underset{\varsigma}{\Delta}$]

trum perpendicularis sit, et ducatur a puncto *B* diametro parallela linea *BΔ*, et a *Γ* linea *ΓΔ* sectionem coni in puncto *Γ* contingens. erit igitur *BΓΔ* triangulus rectangulus.[1]) diuidatur autem *BΓ* in partes aequales quotlibet *BE*, *EZ*, *ZH*, *HI*, *IΓ*, et a punctis diuisionum diametro parallelae ducantur *EΣ*, *ZT*, *HΥ*, *IΞ*, et a punctis, in quibus eae sectionem coni secant, lineae ducantur ad *Γ* et producantur. dico igitur, triangulum *BΔΓ* minorem esse quam triplo maiorem trapeziis *KE*, *ΛZ*, *MH*, *NI* cum triangulo *ΞIΓ*, maiorem autem quam triplo maiorem trapeziis *ZΦ*, *HΘ*, *IΠ* cum triangulo *IOΓ*.

ducatur enim linea *ABΓ*, et abscindatur *AB* lineae *BΓ* aequalis, et fingamus, *AΓ* libram esse, cuius medium erit punctum *B*, et ex *B* suspendatur. suspendatur autem etiam *BΔΓ* in libra ex punctis *B*, *Γ*, et in altera parte librae ex puncto *A* suspendantur spatia *P*, *X*, *Ψ*, *Ω*, *Δ̦*. et aequilibritatem seruet spatium *P* cum trapezio *ΔE* ita se habenti, *X* autem cum trapezio *ZΣ*, *Ψ* autem cum trapezio *TH*, *Ω* autem cum trapezio *ΥI*, et *Δ̦* cum triangulo *ΞIΓ*. quare etiam totum cum toto aequilibritatem seruabit. itaque triangulus *BΔΓ* triplo maior erit spatio

$$P + X + \Psi + \Omega + Δ̦ \text{ [prop. 6].}$$

et quoniam *BΓΘ* segmentum est linea recta et coni

1) Quia *BΓ* ad diametrum perpendicularem esse suppositum est; tum u. Eucl. I, 29.

scripsi; *Δ* F, uulgo. 20. ἔχοντι, ὡς νῦν κεῖται Torellius. 22. *Δ̦*] scripsi; *Δ* F, uulgo, ut lin. 24 et in figura. *ZIΓ* F. 24. τμημα F; corr. Torellius.

κώνου τομᾶς, καὶ ἀπὸ μὲν τοῦ Β παρὰ τὰν διάμετρον ἄκται ἁ ΒΔ, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ, ἄκται δέ τις καὶ ἄλλα



παρὰ τὰν διάμετρον ἁ ΣΕ, τὸν αὐτὸν ἔχει λόγον ἁ ΒΓ ποτὶ τὰν ΒΕ, ὃν ἁ ΣΕ ποτὶ τὰν ΕΦ. ὥστε καὶ ἁ ΒΑ ποτὶ τὰν ΒΕ τὸν αὐτὸν ἔχει λόγον, ὃν τὸ ΔΕ τραπέζιον ποτὶ τὸ ΚΕ. ὁμοίως δὲ δειχθησέται ἁ ΑΒ ποτὶ τὰν ΒΖ τὸν αὐτὸν ἔχουσα λόγον, ὃν τὸ ΣΖ τραπέζιον ποτὶ τὸ ΛΖ, ποτὶ δὲ τὰν ΒΗ, ὃν τὸ ΤΗ ποτὶ τὸ ΜΗ, ποτὶ δὲ τὰν ΒΙ, ὃν τὸ ΥΙ ποτὶ τὸ ΝΙ. ἐπεὶ οὖν ἐστι τραπέζιον τὸ ΔΕ τὰς μὲν ποτὶ τοῖς Β, Ε σαμείοις γωνίας ὀρθὰς ἔχον, τὰς δὲ πλευρὰς ἐπὶ τὸ Γ νευούσας, ἰσορροπεῖ δέ τι χωρίον αὐτῷ τὸ Ρ κρεμάμενον ἐκ τοῦ ζυγοῦ κατὰ τὸ Α οὕτως ἔχοντος τοῦ τραπεζίου, ὡς νῦν κεῖται, καί ἐστιν, ὡς ἁ ΒΑ ποτὶ τὰν ΒΕ, οὕτως τὸ ΔΕ τραπέζιον ποτὶ τὸ ΚΕ, μεῖζον

2. ηκται F; corr. Torellius. 8. εχοντι F; corr. B. 9. ΔΖ]

rectanguli sectione comprehensum, et a B diametro parallela ducta est linea $B\varDelta$, a puncto Γ autem linea $\Gamma\varDelta$ sectionem coni in Γ contingens, et alia quoque linea ΣE diametro parallela ducta est, erit

$$B\Gamma : BE = \Sigma E : E\Phi \text{ [prop. 5].}$$

quare etiam $BA : BE = \varDelta E : KE$.[1]) et eodem modo demonstrabitur esse $AB : BZ = \Sigma Z : \varDelta Z$ et

$$AB : BH = TH : MH \text{ et } AB : BI = \Upsilon I : NI.$$

iam quoniam trapezium est $\varDelta E$ angulos ad puncta B, E positos rectos habens, latera autem ad Γ uergentia, et spatium aliquod P in libra ex A suspensum cum eo ita se habenti, ut nunc positum est, aequilibritatem seruat, et est $BA : BE = \varDelta E : KE$,

1) Nam $BA = B\Gamma$ et $\varDelta E : KE = \Sigma E : E\Phi$; u. Zeitschr. f. Math., hist. Abth. XXIV p. 180 nr. 11.

$\varDelta Z$ F. 10. BI] BH F. 12. σημειοις F; corr. Torellius. 13. τὸ P] τῶϱ uno ductu F.

ἄρα ἐστὶν τὸ *ΚΕ* χωρίον τοῦ *Ρ* χωρίου. δεδείκται γὰρ τοῦτο. πάλιν δὲ καὶ τὸ *ΖΣ* τραπέζιον τὰς μὲν ποτὶ τοῖς *Ζ*, *Ε* γωνίας ὀρθὰς ἔχον, τὰν δὲ *ΣΤ* νεύουσαν ἐπὶ τὸ *Γ*, ἰσορροπεῖ δὲ αὐτῷ χωρίον τὸ *Χ* ἐκ τοῦ ζυγοῦ κρεμάμενον κατὰ τὸ *Δ*, οὕτως ἔχοντι τῷ τραπεζίῳ, ὡς νῦν κεῖται, καί ἐστιν, ὡς μὲν ἁ *ΒΔ* ποτὶ τὰν *ΒΕ*, οὕτως τὸ *ΖΣ* τραπέζιον ποτὶ τὸ *ΖΦ*, ὡς δὲ ἁ *ΔΒ* ποτὶ τὰν *ΒΖ*, οὕτως τὸ *ΖΣ* τραπέζιον ποτὶ τὸ *ΔΖ*. εἴη οὖν κα τὸ *Χ* χωρίον τοῦ μὲν *ΔΖ* τραπεζίου ἔλασσον, τοῦ δὲ *ΖΦ* μεῖζον. δεδείκται γὰρ καὶ τοῦτο. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ *Ψ* χωρίον τοῦ μὲν *ΜΗ* τραπεζίου ἔλασσον, τοῦ δὲ *ΘΗ* μεῖζον, καὶ τὸ *Ω* χωρίον τοῦ μὲν *ΝΟΙΗ* τραπεζίου ἔλασσον, τοῦ δὲ *ΠΙ* μεῖζον. ὁμοίως δὲ καὶ τὸ Δ̦ χωρίον τοῦ μὲν *ΞΙΓ* τριγώνου ἔλασσον, τοῦ δὲ *ΓΙΟ* μεῖζον. ἐπεὶ οὖν τὸ μὲν *ΚΕ* τραπέζιον μεῖζόν ἐστι τοῦ *Ρ* χωρίου, τὸ δὲ *ΔΖ* τοῦ *Χ*, τὸ δὲ *ΜΗ* τοῦ *Ψ*, τὸ δὲ *ΝΙ* τοῦ *Ω*, τὸ δὲ *ΞΙΓ* τρίγωνον τοῦ Δ̦, φανερόν, ὅτι καὶ πάντα τὰ εἰρημένα χωρία μείζονά ἐστι τοῦ *ΡΧΨΩ*Δ̦ χωρίου. ἔστιν δὲ τὸ *ΡΧΨΩ*Δ̦ τρίτον μέρος τοῦ *ΒΓΔ* τριγώνου. δῆλον ἄρα, ὅτι τὸ *ΒΓΔ* τρίγωνον ἔλασσόν ἐστιν ἢ τριπλάσιον τῶν *ΚΕ*, *ΔΖ*, *ΜΗ*, *ΝΙ* τραπεζίων καὶ τοῦ *ΞΙΓ* τριγώνου. πάλιν ἐπεὶ τὸ μὲν *ΖΦ* τραπέζιον ἔλασσόν ἐστι τοῦ *Χ* χωρίου, τὸ δὲ *ΘΗ* τοῦ *Ψ*, τὸ δὲ *ΙΠ* τοῦ *Ω*, τὸ δὲ *ΙΟΓ* τρίγωνον τοῦ Δ̦, φανερόν, ὅτι καὶ πάντα τὰ εἰρημένα ἐλάσσονά ἐστι τοῦ Δ̦*ΩΨΧ* χωρίου. φανερὸν οὖν, ὅτι καὶ τὸ *ΒΔΓ* τρίγωνον μεῖζόν ἐστιν ἢ

---

8. εχων F; corr. B. 9. οὖν] scripsi; αν F, uulgo. κα] scripsi; και F, uulgo. 14. ὁμοίως δέ] scripsi; ομοιως δη F, uulgo. Δ̦] scripsi; Δ F, uulgo, ut lin. 18, 19, 20, 25. 20.

erit $KE > P$. hoc enim demonstratum est [prop. 10]. rursus autem etiam $Z\Sigma$ trapezium est[1]) angulos ad Z, E positos rectos habens, et latus ΣT ad Γ uergens, et cum trapezio[2]) ita se habenti, ut nunc positum est, spatium X in libra ex A suspensum aequilibritatem seruat, et est $BA : BE = Z\Sigma : Z\Phi$, et $AB : BZ = Z\Sigma : \varDelta Z$. quare erit $\varDelta Z > X > Z\Phi$. nam hoc quoque demonstratum est [prop. 12]. eadem igitur de causa erit etiam $MH > \Psi > \Theta H$, et

$$NOIH > \Omega > \Pi I.$$

et eodem modo etiam $\Xi I\Gamma > \varDelta_5 > \Gamma IO$ [prop. 8]. iam quoniam est

$$KE > P,\ \varDelta Z > X,\ MH > \Psi,\ NI > \Omega,\ \Xi I\Gamma > \varDelta_5,$$

manifestum est, etiam omnia spatia illa maiora esse spatio $P + X + \Psi + \Omega + \varDelta_5$. sed

$$P + X + \Psi + \Omega + \varDelta_5 = \tfrac{1}{3} B\Gamma\varDelta \text{ [prop. 6].}$$

adparet igitur, esse

$$B\Gamma\varDelta < 3(KE + \varDelta Z + MH + NI + \Xi I\Gamma).$$

rursus quoniam est $Z\Phi < X$, $\Theta H < \Psi$, $I\Pi < \Omega$, $IO\Gamma < \varDelta_5$, manifestum est, etiam omnia illa spatia minora esse spatio $\varDelta_5 + \Omega + \Psi + X$. manifestum est igitur, etiam triangulum $B\varDelta\Gamma$ maiorem esse quam

1) Auditur ἐστι lin. 2.
2) Ueri simile est, scribendum esse lin. 5: ἔχοντος τοῦ τραπεζίου ut p. 322 lin. 14.

$B\Gamma\varDelta$] $A\Gamma\varDelta$ F; corr. Nizze. 26. $\varDelta_5 \Omega\Psi X$] sic F; $\varDelta\Omega\Psi X$ uulgo.

τριπλάσιον τῶν ΦΖ, ΘΗ, ΙΠ τραπεζίων καὶ τοῦ ΙΓΟ τριγώνου, ἔλασσον δὲ ἢ τριπλάσιον τῶν προγεγραμμένων.

ιε'.

Ἔστω πάλιν τὸ ΒΘΓ τμᾶμα περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, ἁ δὲ ΒΓ μὴ ἔστω ποτ' ὀρθὰς τᾷ διαμέτρῳ. ἀναγκαῖον δὴ ἤτοι τὰν ἀπὸ τοῦ Β σαμείου παρὰ τὰν διάμετρον ἀγμέναν ἐπὶ τὰ αὐτὰ τῷ τμάματι ἢ τὰν ἀπὸ τοῦ Γ ἀμβλεῖαν ποιεῖν γωνίαν ποτὶ τὰν ΒΓ. ἔστω ἁ τὰν ἀμβλεῖαν ποιοῦσα ἁ ποτὶ τῷ Β. καὶ ἄχθω παρὰ τὰν διάμετρον ἀπὸ τοῦ Β ἁ ΒΔ, καὶ ἀπὸ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ. καὶ διῃρήσθω ἁ ΒΓ εἰς τμάματα ἴσα ὁποσαοῦν τὰ ΒΕ, ΕΖ, ΖΗ, ΗΙ, ΙΓ, ἀπὸ δὲ τῶν Ε, Ζ, Η, Ι παρὰ τὰν διάμετρον ἄχθωσαν αἱ ΕΣ, ΖΤ, ΗΥ, ΙΞ, καὶ ἀπὸ τῶν σαμείων, καθ' ἃ τέμνοντι αὐταὶ τὰν τοῦ κώνου τομάν, ἐπεζεύχθωσαν ἐπὶ τὸ Γ καὶ ἐκβεβλήσθωσαν. φαμὶ δὴ καὶ νῦν τὸ ΒΔΓ τρίγωνον τῶν μὲν τραπεζίων τῶν ΒΦ, ΛΖ, ΜΗ, ΝΙ καὶ τοῦ ΓΙΞ τριγώνου ἔλασσον εἶμεν ἢ τριπλάσιον, τῶν δὲ ΖΦ, ΗΘ, ΙΠ καὶ τοῦ ΓΟΙ τριγώνου μεῖζον ἢ τριπλάσιον.

ἐκβεβλήσθω ἁ ΔΒ ἐπὶ θάτερα. ἀγαγὼν οὖν κάθετον τὰν ΓΚ τᾷ ΓΚ ἴσαν ἀπέλαβον τὰν ΑΚ. νοείσθω δὴ πάλιν ζύγιον τὸ ΑΓ, μέσον δὲ αὐτοῦ τὸ Κ, καὶ κρεμάσθω ἐκ τοῦ Κ. κρεμάσθω δὲ καὶ τὸ ΓΚΔ τρί-

5. *τμημα* F; corr. Torellius, ut lin. 9, 13. 7. *δή*] scripsi; *δε* F, uulgo. 8. *αγμενων* F. 9. *αὐτά*] om. F; corr. B. 11. *προς* per comp. F; corr. V. *ἀπὸ τοῦ Β* Nizzius. 14. *τά*] *ταν* F. 16. *ἃ*] *ο* F; corr. Torellius. 17. *επιζευχθωσαν* F; corr. Torellius. 19. *τῶν μέν*] *τω μεν* F. *ΜΗ, ΝΙ*] *ΘΗ, ΠΙ* F; corr. Torellius. 28. *η* F; corr. Torellius. *οὖν*]

triplo maiorem trapeziis ΦZ, ΘH, $I\Pi$ cum triangulo $I\Gamma O$[1]), minorem autem quam triplo maiorem spatiis supra nominatis.

XV.

Sit rursus $B\Theta\Gamma$ segmentum linea recta et coni rectanguli sectione comprehensum, et $B\Gamma$ ad diametrum perpendicularis ne sit. necesse est igitur, aut lineam a puncto B ductam in eandem partem, in qua est segmentum, diametro parallelam, aut lineam a Γ ductam obtusum angulum cum linea $B\Gamma$ facere. linea igitur obtusum angulum faciens ea sit, quae ad B est. et a puncto B diametro parallela ducatur $B\Delta$, et a Γ linea $\Gamma\Delta$ sectionem coni in Γ contingens. et linea $B\Gamma$ in partes aequales quotlibet diuidatur BE, EZ ZH, HI, $I\Gamma$, et a punctis E, Z, H, I diametro parallelae ducantur $E\Sigma$, ZT, $H\Upsilon$, $I\Xi$, et a punctis, in quibus eae sectionem coni secant, ad punctum Γ ducantur [lineae] et producantur. dico igitur, sic quoque esse $3(B\Phi + AZ + MH + NI + \Gamma I\Xi) > B\Delta\Gamma > 3(Z\Phi + H\Theta + I\Pi + \Gamma OI)$.

producatur ΔB in alteram partem.[4]) ducta igitur linea ΓK perpendiculari posui AK lineae ΓK aequalem. fingamus igitur rursus, libram esse $A\Gamma$, et medium eius punctum K, et ex K suspendatur. suspendatur autem etiam triangulus $\Gamma K\Delta$ in dimidia libra

1) Nam $B\Delta\Gamma > 3(\Delta_5 + \Omega + \Psi + X)$.

2) H. e. non in eam partem, in qua segmentum est.

addidi; om. F, uulgo. 24. ισηυ F; corr. Torellius. 26. κεκρεμασθω F, uulgo.

γωνον ἐκ τοῦ ἡμίσεος τοῦ ζυγοῦ κατὰ τὰ Γ, Κ ἔχον, ὡς νῦν κεῖται, καὶ ἐκ τοῦ θατέρου μέρεος τοῦ ζυγοῦ κρεμάσθωσαν κατὰ τὸ Α τὰ Ρ, Χ, Ψ, Ω, $\underset{\varsigma}{\Delta}$ χωρία, καὶ τὸ μὲν Ρ τῷ ΔΕ τραπεζίῳ ἰσορροπείτω οὕτως ἔχοντι, ὡς νῦν κεῖται, τὸ δὲ Χ τῷ ΖΣ τραπεζίῳ, τὸ δὲ Ψ τῷ ΤΗ, τὸ δὲ Ω τῷ ΥΙ, τὸ δὲ $\underset{\varsigma}{\Delta}$ τῷ ΓΙΞ τριγώνῳ. ἰσορροπήσει δὴ καὶ τὸ ὅλον τῷ ὅλῳ. ὥστε εἴη ἂν καὶ τὸ ΔΒΓ τρίγωνον τριπλάσιον τοῦ ΡΧΨΩ$\underset{\varsigma}{\Delta}$ χωρίου. ὁμοίως δὴ τῷ πρότερον δειχθησέται τό τε ΒΦ τραπέζιον τοῦ Ρ χωρίου μεῖζον, καὶ τὸ μὲν ΘΕ τραπέζιον μεῖζον ἐὸν τοῦ Χ χωρίου, τὸ δὲ ΖΦ ἔλαττον, καὶ τὸ μὲν ΜΗ τραπέζιον μεῖζον ἐὸν τοῦ Ψ χωρίου, τὸ δὲ ΗΘ ἔλασσον, καὶ ἔτι τὸ μὲν ΝΙ τραπέζιον μεῖζον ἐὸν τοῦ Ω χωρίου, τὸ δὲ ΠΙ ἔλασσον, καὶ τὸ μὲν ΞΙΓ τρίγωνον μεῖζον τοῦ $\underset{\varsigma}{\Delta}$ χωρίου, τὸ δὲ ΓΙΟ ἔλασσον. δῆλον οὖν ἐστιν, ὃ ἔδει δεῖξαι.

ιϛʹ.

Ἔστω πάλιν τμᾶμα τὸ ΒΘΓ περιεχόμενον ὑπὸ εὐθείας καὶ ὀρθογωνίου κώνου τομᾶς, καὶ ἄχθω διὰ μὲν τοῦ Β ἁ ΒΔ παρὰ τὰν διάμετρον, ἀπὸ δὲ τοῦ Γ ἁ ΓΔ ἐπιψαύουσα τᾶς τοῦ κώνου τομᾶς κατὰ τὸ Γ.

---

1. ημισους F, uulgo. 2. καί] addidi; om. F, uulgo. μερους F, uulgo. 3. τά] των FV. $\underset{\varsigma}{\Delta}$] scripsi; Δ F, uulgo (ut in figura et lin. 15). 4. τό] τω F, ut lin. 5 (alt.), 6 (prius). 6. $\underset{\varsigma}{\Delta}$] F; Δ uulgo, ut lin. 8. 7. δή] scripsi; δε F, uulgo. 8. Ρ] Ο F. 10. Ρ] ΡΧ F. 16. ὃ ἔδει δεῖξαι] addidi (scriptum erat οῑ); om. F, uulgo; τὸ προτεθέν Torellius. 18. τμημα F; corr. Torellius. 20. διαμετρ (cum comp. ον) ον F.

ex punctis Γ, K ita se habens, ut nunc positus est, et in altera parte librae ex puncto A suspendantur



spatia P, X, Ψ, Ω, ϟ, et spatium P cum trapezio $\varDelta E$ ita se habenti, ut nunc positum est, aequilibritatem seruet, et spatium X cum trapezio $Z\Sigma$, et Ψ cum TH, et Ω cum ΥI, et ϟ cum triangulo $\Gamma I \Xi$. quare etiam totum cum toto aequilibritatem seruabit. itaque erit [prop. 7]

$$\varDelta B\Gamma = 3(P + X + \Psi + \Omega + ϟ).$$

eodem igitur modo, quo supra[1]), demonstrabimus, esse

$$B\Phi > P,\ \Theta E > X > Z\Phi,\ MH > \Psi > H\Theta,$$
$$NI > \Omega > \Pi I,\ \Xi I\Gamma > ϟ > \Gamma IO.$$

itaque adparet id, quod demonstrandum erat.

XVI.

Rursus sit $B\Theta\Gamma$ segmentum linea recta et sectione coni rectanguli comprehensum, et per B ducatur $B\varDelta$ diametro parallela, et a Γ puncto linea $\Gamma\varDelta$ sectionem coni in Γ puncto contingens. et spatium Z tertia pars sit

1) Prop. 14, sed pro propp. 10, 12, 8 usurpandae sunt propp. 11, 13, 9.

ἔστω δὲ τοῦ ΒΔΓ τριγώνου τρίτον μέρος τὸ Ζ χωρίον. φαμὶ δὴ τὸ ΒΘΓ τμᾶμα ἴσον εἶμεν τῷ Ζ χωρίῳ.

